2752

PRODROMI

IN

PSALMOS

321/H

2-H-5


VII A 6
3214

Cuenca 156

N. 156.

77

De la Bibliothª del Collº m.or de Cuenca

# ΘΕΟΔΩΡȢ ΤΟΥ ΠΡΟΔΡΟΜȢ ΕΙϹ ΤȢϹ ΨΑΛΜȢϹ

## ΦΡΑΓΓΙϹΚȢ ΤΟΥ ΒΡΑΒΟȢ

Theodorus Prodromus in Psalmos.

Εὐσεβίου καισαρείας εἰς τοὺς ψαλμοὺς + ὅτι μὲν θεοδώρου τοῦ προμου +

τοῦ θείου δαβὶδ ἑρμηνεία.

προοίμιον.

Ἐμοὶ μὲν πρὸ τῶν ἄλλων λογίων καταθύμιον ἦν. τοῦ μακαρίου
δαβὶδ ἑρμηνεῦσαι τὴν προφητείαν ἐπειδή, καὶ τῆς εὐσεβείας οἱ τρό=
σκηνιτικοί φιμοι καὶ ἀστοί· καὶ γὰρ ἡνίκα διαφερόντως ταύτῃ προσέχειν
ἐσπουδάκασιν ἅπαντες· οὐχ ἥκιστα δὲ καὶ τὸν ἀσκητικὸν ἀσπα-
ζόμενοι βίον νύκτωρ ταύτην, καὶ μεθ' ἡμέραν διὰ τῆς
γλώττης προσφέρουσι· καὶ τὸν τῶν ὅλων ὑμνοῦσι τὸν θεόν.
καὶ τὰ τοῦ σώματος κατευνάζοντα πάθη· τῇ γὰρ ἡδονῇ τῆς
μελῳδίας τὴν ὠφέλειαν, ἡ θεία χάρις κεράσασα· τριποθήτους
καὶ ἀξιεράστους τοῖς ὁμιληταῖς διδασκαλίαν προτέθεικεν· καὶ γὰρ
ἰδεῖν. τῶν μὲν ἄλλων θείων γραφῶν· ἢ οὐδαμῶς. ἢ ὀλίγα
τῶν αὐτῶν μεμνημένους τοὺς πλείους. τῶν δὲ ψαλμικῶν. τοῦ
θείου δαβὶδ ᾀσμάτων, πολλοὺς πολλάκις κἂν ταῖς οἰκίαις
ἀγοραῖς κἂν ταῖς ~~ἀγοραῖς~~ κἂν ταῖς ὁδοῖς ἀπομεμνημονευμένους· καὶ τῆς
τοῦ μέλους ἁρμονίας. σφᾶς αὐτοὺς καταθέλγοντας καὶ διὰ
ταύτης τῆς θυμηδίας καρπουμένους τὴν ὠφέλειαν. διὰ ταῦτα
μὲν οὖν πρώτην μὲν ἐβουλόμην ἑρμηνεῦσαι ταύτην τὴν προ

φητείαν

προφητείαν, καὶ τὴν ἐν τῷ βυθῷ ὠφέλειαν προσθεῖναι τοῖς φρονίμοις
ἐμπόροις ἵνα ᾄδοντες ὁμοῦ, καὶ τὴν διαφορὰν τὴν ᾀδομένην
ὁρῶντες, διπλοῦν ποιήσωνται τὸ κέρδος. ἀλλὰ ταύτην ἡμῖν παρὰ
λαβεῖν τὴν προθυμίαν συνέπεισαν οἱ τῶν ἄλλων θείων γραφῶν
παρ' ἡμῶν τὰς ἑρμηνείας αἰτήσαντες. οἱ μὲν γὰρ τοῦ ᾄσματος
τῶν ᾀσμάτων ἐπιγνῶναι τὴν σαφήνειαν. οἱ δὲ τοῦ ἀνδρὸς τῶν ἐπι-
θυμιῶν ἐπεθύμησαν διαγνῶναι τὴν προφητείαν. ἄλλοι τοῦ
θεσπεσίου Ἰεζεκιήλ. ἕτεροι τῶν δώδεκα προφητῶν τὰς φω-
νὰς κεκρυμμένας προρρήσεις σαφεῖς αὐτοῖς γενέσθαι καὶ δήλους
ἐζήτησαν. ἐπειδὴ τοίνυν δέδωκας ὁ τῶν ὅλων θεὸς ὁ σοφίζων τοὺς
τυφλούς, καὶ ἀποκαλύπτων μυστήρια ὁ δοὺς στόμα ἀνθρώπῳ· ποιήσας
δύσκωφον, καὶ κωφόν. καὶ βλέποντα. καὶ τυφλόν τοῦτον αἰτοῦμεν τῶν
θείων λογίων συμπεράναι τὴν ἑρμηνείαν. φέρε τὴν θείαν ἐπικα-
λεσάμενοι χάριν τὴν ἄγουσαν τυφλοὺς κατὰ τὴν προφητείαν ἐν ὁδῷ
ᾗ οὐκ ᾔδεισαν. καὶ τρίβους ἃς οὐκ ἔγνωσαν ὁδεῦσαι παρασκευάζουσαν
καὶ τοῖς πάλαι κωφοῖς τὸ τῶν θείων ἐπαΐειν παρέχουσαν, καὶ τοῖς
ἐν σκότει καὶ ὁμίχλῃ διάγουσιν ὀφθαλμοῖς χορηγοῦσαν τὸ βλέπειν.
καὶ τῆς δὲ τοῦ προφήτου κατατολμήσωμεν ἀλλὰ μαθεῖς κρεῖττον ἡμῶν
τοῦτον ἠρξάμεθα τὸν πόνον τό. καὶ ἄλλους πρὸ ἡμῶν τήνδε προσθεῖναι
τὴν ἑρμηνείαν. διαφόροις γὰρ ἐντυχὼν ὑπομνήμασι. καὶ τοὺς μὲν
εἰς ἀλληγορίαν μετὰ πολλῆς βήσαντας ἀπληστίας εὗρον. τοὺς δὲ
τισὶν ἱστορίαις τὴν προφητείαν ἁρμόσαντας ὡς ἰουδαίοις μᾶλλον

τῶν

τὴν ἑρμηνείαν συνεγράψαμεν ἢ τοῖς χρησίμοις τῆς πίστεως προὔργου
νενομίκαμεν. καὶ τοῦτον κἀκείνων τὴν ἀμετρίαν φυγών ὅσα
μὲν ταῖς παλαιαῖς προσῆκον ἱστορίαις ταύταις ταῦτα προσαρ=
μόσαι καὶ νῦν. τὰς δὲ περὶ τοῦ δεσπότου χριστοῦ προῤῥήσεις. καὶ
τῆς ἐξ ἐθνῶν ἐκκλησίας. καὶ τῆς εὐαγγελικῆς πολιτείας. καὶ
τῶν ἀποστολικῶν κηρυγμάτων μὴ ἑτέροις ἀναθεῖναί τισιν παρ'
ἰουδαίοις φιλοπόνως κακουργηθὲν συζητεῖν, καὶ τῆς σφῶν ἀπιστίας ἀ=
πολογίαν ὑφαίνουσιν. ἱκανὴ γὰρ καὶ τῶν πραγμάτων ἡ μαρ=
τυρία ποδηγῆσαι πρὸς τὴν ἀλήθειαν τῆς ἑρμηνείας τοὺς
ταύτην ἐφιεμένους εὑρεῖν. οὗ δὴ χάριν. οὐχὶ λίαν ἐπίπονος
ἡ μὲν οὖν τῆς προῤῥήσεως ἑρμηνεία δῆλον γὰρ ταύτην ποιεῖ
τῶν πραγμάτων ἡ θεωρία. σπουδάσωμεν δὲ ὥσπερ οὖν τε. ὡς οἷόν τε
φυγεῖν μέν, τοῦ λόγου τὸ μῆκος. συντόμως δὲ προθεῖναι
τοῖς βουλομένοις τὴν ὠφέλειαν· πρότερον δέ γε τῶν ψαλ=
μῶν δηλώσαντες τὸν σκοπόν. οὕτω τῆς ἑρμηνείας ἀφορ=
μώμεθα. ἰστέον μέντοι ὡς ἴδιον προφητείας. οὐ μόνον τὰ
ἐσόμενα προαγορεύειν. ἀλλὰ καὶ τὰ παρόντα. καὶ τὰ ἤδη
γεγενημένα λέγειν. καὶ γὰρ ὁ θεσπέσιος μωϋσῆς τὰ πάλαι.
καὶ πρὸ πάλαι. ὑπὸ τοῦ θεοῦ τῶν ὅλων κτισθέντα τὸν νό=
μον λαβόντα σαφῶς ἡμᾶς ἐξεπαίδευσεν οὐ παρὰ ἀνθρώπων
ταύτην τὴν διδασκαλίαν δεξάμενος ἀλλ' ἐκ τῆς τοῦ πνεύματος χα=
ριτος προφητεύει. καὶ τὰ παρόντα ὡς τῷ φαραὼ τὰς ἐπενεχθεί=

χθεῖσαι

ἐπενεχθείσας παιδείας. καὶ τοῦ ἐπὶ τοῦ μάννα τὴν χορηγίαν. καὶ τῶν
κρεῶν τὴν μετάληψιν· προεθέσπισε δὲ, καὶ τὰ ἐσόμενα· τοῦ δεσπό-
του Χριστοῦ τὴν παρουσίαν· τὴν τῶν Ἰουδαίων διασποράν· τὴν τῶν
ἐθνῶν σωτηρίαν. οὕτω καὶ ὁ θεῖος Δαβὶδ μετὰ τοῦτον πρῶτος προ-
φητείας συγγράψας· καὶ τῶν ἤδη γεγενημένων· περὶ τοῦ Θεοῦ τῶν
ὅλων εὐεργεσιῶν ποιεῖται τὴν μνήμην. καὶ τὰ μακροῖς ὕστε-
ρον χρόνοις ἐσόμενα προφητεύει. οὐ μόνον δὲ παραινετικὴν
καὶ νῦν μὲν ἠθικήν· νῦν δὲ δογματικὴν προσφέρει διδασκα-
λίαν. καὶ ποτὲ μὲν τὰς Ἰουδαίων ὀλοφύρεται συμφοράς· ποτὲ δὲ τὴν
τῶν ἐθνῶν σωτηρίαν· προᾴδει δὲ τοῦ δεσπότου Χριστοῦ καὶ τὸ πάθος·
καὶ τὴν ἀνάστασιν· προθεσπίζει καὶ τῇ ὁμιλίᾳ τῆς προφητείας πολλὴν
τοῖς προσέχειν ἐθέλουσι προσφέρει ἡδονήν. τοὺς δὲ ψαλμοὺς
οὐχ ἅπαντας αὐτοῦ τινὲς ἔφασαν εἶναι· ἀλλὰ καὶ ἑτέρων· ὅθεν καὶ
τὰς ἐπιγραφὰς οὕτω νενοήκασι· τοὺς μὲν τῷ Ἰδιθοὺμ. τοὺς
δὲ τῷ Αἰθάμ· ἄλλους δὲ τοῖς υἱοῖς Κορέ. καὶ ἑτέρους τῷ Ἀσάφ
ἀνέθεσαν· προφήτας καὶ αὐτοὺς ἐκ τῆς τῶν παραλειπομένων ἱστορίας
εἶναι μεμαθηκότες. ἐγὼ δὲ περὶ τούτων μὲν οὐδὲν διισχυρί-
ζομαι. ποίαν γὰρ ἡμῖν προστίθησιν ὠφέλειαν. εἴτε τούτων
πάντες εἴτε ἐκείνου χρηματίζουσι· δήλου γε ὄντος ὡς ἐκ τῆς τοῦ
θείου πνεύματος ἐνεργείας συνεγράφησαν ἅπαντες. καὶ τὸν θεσ-
πέσιον γὰρ Δαβὶδ προφήτην ἴσμεν· καὶ τούτους προφήτας ἡ τῶν περι-
λειπομένων ἱστορία καλεῖ· προφήτου ἴδιον. καὶ τὸ τὴν γλῶτταν
ὑπουργὸν παρέχειν τῇ τοῦ πνεύματος χάριτι καὶ τὰ τῶν ἐν τοῖς
ψαλμοῖς

ψαλμοῖς φερομένην φωνήν. ἡ γλῶσσά μου φησί κάλαμος
γραμματέως ὀξυγράφου. κρατεῖ δ' ὅμως τῶν πλειόνων ἡ
ψῆφος τοῦ Δαβίδ εἶναι οἱ πλείους τῶν συγγραφέων τούτους
ἔφασαν εἶναι. ἐπειδή, καί τας ἐπιγραφας τῶν ψαλμῶν
ψευδεῖς τινες ἀπεκάλεσαν ἀναγκαῖον ἡγοῦμαι καί περί
τούτων γράψαι. δι' ἐξελθεῖν ἐμοί γε δοκεῖ τολμηρόν εἶπεῖν
τας ἀνέκαθεν ἐμφερομένας ἐπί Πτολεμαίου τοῦ τῆς Αἰ-
γύπτου μετά τόν Ἀλέξανδρον βασιλεύσαντος ἀνατρέπειν ἐπι-
γραφάς. ἅς οἱ ἑβδομήκοντα πάντες μετέθηκαν εἰς τήν
ἑλλάδα φωνήν, ὡς καί τήν ἄλλην πᾶσαν γραφήν. πρό πεντή-
κοντα δέ καί ἑκατόν τῆς ἑλληνικῆς ἐνιαυτοῦ. θείας ἅμα πλησ-
θεῖς χάριτος ὁ θαυμάσιος Ἔσδρας. τάς ἱεράς ἀνέγραψε
βίβλους ὑπό τε τῶν ἰουδαίων ἀμελείας, καί τῆς τῶν Βαβυ-
λωνίων ἀσεβείας πάλαι διαφθαρείσας ἐν αἰχμαλωσίαις ὑπό τοῦ
θείου πρός τήν τούτων φανερώσασθαι μνήμην, καί οὗτοι μετ'
ἄλλα τῆς θείας ἐπιπνοίας μετά πολλῆς συμφωνίας μετέφρασαν
ταύτας εἰς τήν ἑλλάδα φωνήν πρός δέ ταῖς ἄλλαις θείαις
γραφαῖς, καί τάς ἐπιγραφάς ἡρμηνεύκασι τολμηρόν οἶμαι
καί λίαν θρασύ ψευδεῖς ταύτας προσαγορεύειν καί τούς οἰκεί-
ους λογισμούς. τῆς τοῦ πνεύματος ἐνεργείας σοφωτέρους ὑπολαμ-

βάνειν

ὑπολαμβάνουσιν. τοῦτο δὲ δείξει σαφέστερον. καὶ ἡ κατὰ μέρος
τῶν ψαλμῶν ἑρμηνεία. καὶ τὸ διάψαλμα δὲ διαφόρως ἡρμή-
νευσαν· οἱ μὲν γὰρ τῆς τοῦ πνεύματος ἐνεργείας παῦλαν ὑπέλα-
βον αὐτό. οἱ δὲ προφητείας ἐναλλαγήν. οἱ δὲ τοῦ μέλους μετα-
βολήν. φέρε δὴ τοῦ ἀκυλᾶ χρησάμενος ἑρμηνείαν. τὸ ἀεὶ
τέθεικεν ἀντὶ τοῦ διαπαντός. τῷ ἡγουμένῳ στίχῳ τοῦ τὸ συνά-
πτεσθαι φήσας· οἷον ἐν τῷ γ΄ ψαλμῷ μετὰ τὸ, φωνῇ μου
πρὸς κύριον ἐκέκραξα. προσκείμενον εὑρίσκομεν τὸ διάψαλμα
ὁ δὲ ἀκύλας οὕτω συνῆψε. καὶ ἐπήκουσέ μου ἐξ ὄρους
ἁγίου αὐτοῦ ἀεί. καὶ οὕτω δὴ ἐφεξῆς τῷ ἡγουμένῳ στίχῳ τὸ
ἀεὶ συνάπτει καὶ τὴν διάνοιαν ἐργαζόμενος. ἐγὼ δὲ καὶ τοὺς ο΄
καὶ τοὺς ἄλλους ἅπαντας τῆς θείας γραφῆς ἑρμηνευτὰς τῷ διά-
ψαλματι κεχρημένους εὑρίσκων οὐ δίκαιον ἡγοῦμαι. τοσούτων
μὲν καὶ τοιούτων καταφρονῆσαι. ἑνὸς δὲ μόνου διάνοιαν
πιστεῦσαι. ἤγουν (ἤτοι) δὴ χάριν μέλους ἐναλλαγὴν ὑπολαμβάνω σημαίνειν
τοῦ διαψάλματος τὴν γραφήν. ἐπειδὴ γὰρ χοροὺς συστησά-
μενος ὁ μέγας δαβὶδ τῷ θεῷ τὴν ὑμνῳδίαν προσέφερεν.
οὐχ ὅπως τῷ χρείαν ~~[illegible]~~ τινὰ πληρῶν. ἀλλὰ τῷ λαῷ προξενῶν
ὠφέλειαν δηλονότι μετά τινος ἁρμονίας καὶ τοὺς χοροὺς ᾄδειν
καὶ τοῖς ~~[illegible]~~ ὀργάνοις κεχρημένους. σύμφωνον παρεσκεύαζε
παρέχεσθαι τὴν ἠχώ. πολλάκις δὲ καὶ τὰ ᾄσματα τοῦ
μέλους

μέλους ἔχει μεταβολάς, καὶ αἱ λύραι δὲ καὶ μέντοι καὶ αἱ κιθάραι
τῶν κρουομένων ἐν ἀλλαγῇ. ἔτι δὲ καὶ ἐπὶ τῶν αὐλῶν πολλὴν τοῖς
αὐλοῦσιν ἰδεῖν διαφοράν. τὸ τοίνυν διάψαλμα διαφόρως ἔθηκεν
τὴν τοῦ μέλους μεταβολὴν τὸ δέ γε ἀκριβὲς τῆς ἑρμηνείας· ὅθεν ὁ
ταύτης τεθεικὼς τὴν ἐπιγραφήν. καὶ εἴ τις κατέχοιτο τοῦ
θείου πρὸς τὴν ἀλήθειαν ἐδέξατο. εἰδέναι δὲ προσήκει τοὺς φιλοπό=
νους τοῖς ψαλμοῖς ἐντυγχάνονται, ὡς τοῦ χρόνου τὴν τάξιν
οὐ διασώζουσιν ἀλλ' οἱ μὲν τὰς πρεσβυτέρας περιέχοντες ἱστο=
ρίας ἐστὶν ὅτε τὴν ὑστέραν ἔλαχον τάξιν. οὐδέ γε τὰς νεωτέρας
ἐλάχθησαν πρότεροι. καὶ γὰρ ὁ τρίτος ψαλμὸς τοῦ κατὰ τὸν
Ἀβεσσαλὼμ διηγήματος τὴν ἐπιγραφὴν ἔχει· ὁ δὲ ρ̄ τεσσαρακο=
στὸς πρῶτος τοῦ Σαούλ. ὅσῳ δὲ πρεσβύτερα τὰ κατὰ τὸν Σαοὺλ
τῶν κατὰ Ἀβεσσαλὼμ παντί που δῆλον τῷ τὴν ἱστορίαν εἰδότι.
τῶν ἱστοριῶν ἐπισταμένων. ὡμολόγηται αὐτὸν μὲν τὸν θεῖον Δαβὶδ
τοὺς ψαλμοὺς εἰρηκέναι. εἶναι δὲ τῶν ὕστερον γενομένων
τὴν τούτων ποιήσασθαι σύνταξιν ταῦτα δὲ ἐπεσημηνάμην ἵνα
μή τις ὑπόπτην τὴν ἑρμηνείαν περὶ τούτων μεταγράφειν
ἀναγκαζόμενοι. ἐνταῦθα τοίνυν τὴν προθεωρίαν συμπε=
ράναντες σὺν θεῷ φάναι τὴν κατὰ μέρος
ἑρμηνείαν ἀξιούμεθα.

Ἰωσήππου ἐκ τοῦ ὑπομνήμα
τικοῦ χε΄ ζ΄ τῆμα ἐστι τὰ
τῷ δαδ πεπραγμένα καὶ
εἰς αὐτὸν ἀξιαθαύ
ματος πραχθέντα
πρὸς τῶν τὰ τέ=
λει

ϝ· πρὸς τῷ τέλει· ἢ πρὸς τὰ ἐν τέλει·

Πᾶσαν αὐτοῦ συγγραφὴν ἐφεξῆς ἑκάστῳ τῶν συμπιπτόντων δι᾽ ὕμνων συνεγράψατο καὶ τὸν ἅπαντα βίον αὐτοῦ θεὸν ὑμνῶν διετέλει. καὶ ψαλτήριον ἢ μουσικὸν ὄργανον εἶχεν ἐν τούτῳ χοροὺς ἐποίει ψαλμῳδοὺς τὸ λευιτικὸν γένος ἅπαν ὑπὲρ τοὺς τρισμυρίους οὓς ὑπὸ ἱερεῦσι ποιησάμενος χοροδιδασκάλους εἰς τὸ ψάλλειν διηνεκῶς καὶ ὑμνεῖν τὸν θεὸν τοὺς ἑαυτοῦ ὕμνους εἶτα καὶ πεποίηκεν μὲν ψαλμοὺς

ψαλμοὺς ἀπείρους οὐ καὶ κατέλεξε
τῆς τῶν λοιπῶν χάριν διδασκάλων.
ἀλλ' ὁ βασιλεὺς ἐξελέξατο τῶν τῶν ψαλ-
μῶν πλῆθος εἰς λειτουργίαν ἀμων
τοὺς λατρευτὰς ἐπισήμους, τοὺς ρ΄ τούτους
καὶ μ΄ ψαλμοὺς διὰ τῶν ἐν τῷ λαῷ
σοφῶν· ἀπὸ τούτου τοῦ πλήθους ἐποίησεν ἐπι-
λεχθῶμαι. διὰ δόξαν τῆς αὐτοῦ βασι-
λείας· τὸν γὰρ ἐποιήσατο Σολομῶν· καὶ
χρισθέντα διὰ τοῦ προφήτου Νάθαν
αὐτὸς δέδωκεν αὐτῷ τὴν βασιλείαν·
παραινεῖ δὲ αὐτοῦ τὴν πρὸς θεὸν εὐσέ-
βειαν ὁλόκληρον διατηρῶν τῆς ἀρίστης
ἀρχῆς ταύτης ὑπόθεσιν εἶναι λέγων
καὶ τὸν ναὸν δὲ ἐκέλευσεν οἰκοδομεῖν
τὴν ὅλην αὐτοῦ διάθεσιν μέτρα τε καὶ
σχῆμα τῆς ὅλης αὐτοῦ δομήσεως

μήσεως

δομήσεως παραδοὺς καὶ καταλείψας αὐτῷ τῆς με=
γαλοπρεποῦς κατασκευῆς ἐπάξια δα=
πανήματα· χρυσίου γὰρ ἦν δεκάκις μυ=
ρία τάλαντα χαλκοῦ τε καὶ σιδήρου
σταθμὸς ὅσος ἦν ὑπὲρ ἀριθμοῦ ἐλθεῖν
καὶ τοὺς ἐνυβρίζαντας αὐτῷ
οὐκ ἠδυνάμητο κατὰ τὸν τῆς δυσπραγί=
καιροῦ· οὐκ ἐτασθαγμάται καὶ ἔλεγξε
γὰρ καὶ τούτους τῷ σολομῶντι·

Τοῦ μὲν (μὴ) εἰς τὸ διάψαλμα· χρὴ δὲ μηδὲ τὸ δι=
άψαλμα περιδραμεῖν ἀθεώρητον τοῖς
μὲν οὖν πρὸ ἡμῶν μεταβολὴν τοῦ νο=
ήματος ἢ προσώπου ἢ πράγματος ση=
μαίνειν ἐνομίσθη τὸ διάψαλμα· ἡμεῖς
δὲ τάς τε τῶν πρῴων ὑπολήψεις οὐκ
ἀπεβάλομεν, καὶ παρ' ἑαυτῶν ἐννοῆσαι
πρὸς τὴν τοῦ ἐντοῦ τούτου σημασίαν οὐκ
ἀποκνήσομεν. τοιαύτην οὖν τινὰ τοῦ

τοῦ

τοῦ διὰ ψάλματος κατελάβομεν τὴν διά-
νοιαν· ὅτι πρωΐ οὔσης κατὰ τὸ ἀκόλου-
θον τῆς ψαλμῳδίας ἥτις ἐγένετο προφη-
τεύοντος μετὰ ξύ τοῦ δαδ ἑτέρα, τοῦ θείου
πρὸς θείαν ἔλλαμψιν, καὶ προσθήκην
τοῦ κατὰ τὴν γνῶσιν χαρίσματος ἐπ' ὠ-
φελείαν τῶν δεχομένων τὴν προφητεί-
αν ἐπέχων τῶν φωνῶν, καιρὸν ἐδίδου τῇ
διανοίᾳ δέξασθαι τῶν νοημάτων τῆς
γνώσεως ῥήματος ἐπ' ὠφελεία τῶν δεχο-
μένων τὴν προφητείαν ἀπέχων τῶν
φωνῶν καιρὸν ἐδίδου τῇ διανοίᾳ δέ-
ξασθαι τῶν νοημάτων τὴν γνῶσιν
τῶν γινομένων ἐν ἑαυτῷ παρὰ τῆς
θείας ἐλλάμψεως, καὶ ὥσπερ πολλάκις
τινὲς ἢ ἐν ὁδῷ συμβαδίζοντες ἢ ἐν
συμποσίοις ποτὲ ἢ ἐν συλλόγοις μετ' ἀλλή-
λων διαλεγόμενοι ἢ πόθεν ἀθρόως

ἀθρόως

ἀθρόως ἤχησις ταῖς ἀκοαῖς προβάλλει
παυσάμενος τοῦ λόγου πρὸς τὸν ἦχον
τῇ διαφορᾷ συντείνοντα. σχολὴ παρέ=
χοντα δι' ἡσυχίας τῇ ἀκοῇ. τοῦ γνῶναι
τοῦ ἤχου τὴν δύναμιν, εἶτα παυσα=
μένης τῆς προσηχούσης φωνῆς πά=
λιν τοὺς πρὸς ἀλλήλους ἔχοντας λόγους
οὕτως, καὶ ὁ μέγας δαδ ὑποφητεύων τῷ
πνι ἅττε φθάσαι ἐμεμαθήκει, διέξῃει
τὴν μελῳδίαν. καὶ εἶτα μεταξὺ λέγων
ὑπεβάλλετο (+ διάψ), ἐπέχων τῷ πνι ἤχῳ ἐνηχοῦν=
τι τὴν εἰς τάχος ἀκοήν, καὶ κατασTά=
ζων τὸ μέλος ὡς ἂν πλήρης ἐγένετο
ταῦτα δὲ ξείπῃ πάλιν ἐξάγων τῇ με=
λῳδίᾳ τοὺς λόγους :—

Ἱππολύτου ἐπισκόπου ῥώμης
διήγησις εἰς τοὺς ψαλ
μούς :—

ψαλμοὺσ.

Ἡ βίβλος τῶν ψαλμῶν καινὴν διδασκαλίαν περιέχει μετὰ τὴν Μωσέως νομοθεσίαν. καὶ ὅτι δευτέραν μετὰ τὴν τοῦ Μωσέως γραφὴν διδασκαλικὴ βίβλος τυγχάνει. μετὰ γοῦν τὸν Μωσέως καὶ τὴν τελευτὴν μετὰ τοὺς κριτὰς Δαβὶδ γενόμενος ὥσπερ εἰς τοῦ σωτῆρος αὐτὸς χρηματίσαι πατὴρ καταξιωθεὶς καινὸν τρόπον τὸν τῆς ψαλμῳδίας πρῶτος Ἑβραίοις παρέδωκεν· διὸ τῆς ἀναιρεῖ μὲν τὰ παρὰ Μωσεῖ περὶ θυσιῶν νενομοθετημένα· καινὸν δὲ τὸν δι' ὕμνων, καὶ ἀλαλαγμοῦ τρόπον τῆς τοῦ θεοῦ λατρείας εἰσάγει· καὶ ἄλλα δὲ πλεῖστα τῶν Μωσέως νόμων ἐπαναβεβηκότα διὰ πάσης αὐτοῦ τῆς πραγματείας διδάσκει.

Τὸ διάψαλμα ἐστὶν ἡ προσώπου ἐναλλαγὴ ἢ διανοίας μεταβολὴ ἢ μέλους ἐναλλαγή:—

Ἰωσήππου

Psalmorum liber novam post Moysi legem doctrinam continet, et velut secundus post Moysis scriptionem dogmaticus liber. Post mortem igitur Moysis, et post Judices David ~~eiusmodi~~ velut ejus servatoris patris decreto dignus iudicatus novum modum Psalmodiae Hebraeis primus tradidit; quae quidem ea quae a Moyse de sacrificiis sancita erant, tollit et novum quemdam divini cultus per hymnos et cantus modum, et alia quam plurima sanctionum Mosaicarum abolita in universo opere docet.

Ἰωσήππου ἐκ τοῦ ὑπομνηστικοῦ κεφάλαια ρκη,

Τίνα ἐστὶ τὰ μνημόσυνα ἐν ταῖς γραφαῖς
βιβλία ὡς ὄντα οὐχ εὑρισκόμενα δέ:
Νάθαν. καὶ ἀδδών. καὶ ἀχιὰ τοῦ σηλωνί-
του καὶ σεμεεὶ καὶ ἰδοῦ ἐν τῇ βίβλῳ
τῶν βασιλείων γέγραπται εἶναι βιβλία·
προφῆται γ' εἰσὶν, οὗτοι οἳ γεγράφασι πε-
ρὶ ὧν προεφητεύκασιν ἃ οὐχ εὑρίσκεται.
ψαλμοὶ τρισχίλιοι λέγονται ἐν παρα-
λειπομένοις εἶναι τοῦ δαβὶδ, κομοὺς δὲ
ἐξ αὐτῶν τῶν, ρν, τῶν ὑπὸ τῶν φί-
λων ἐζεκίου τοῦ βασιλέως λελέχθαι
τοὺς δ' ἄλλους ἀποκεκρύφθαι πεντάκις
χιλίας παροιμί. ὑπὸ σολομῶντος ἐκδε-
δόσθαι τὸ ᾆσμα ἀσμάτ. ποῦ φησὶν
ἡ τῶν παραλειπομένων γραφή, ἀλλ' οὐκ:

οὐκ

ἀλλ' οὐκ εἰσὶ νῦν αὗται μόναι αἱ ἐκκλησιαζό-
μεναι. τὸ ᾆσμα ἐξ ᾀσμάτων πλειόνων
τῶν μυστικῶν ἐξελέχθη ἐκ γεγραπται.
Ἰώσηππος δὲ ἱστορεῖ βιβλία προφητείας τῶν
προφητῶν Ἰεζεκιὴλ γεγράφθαι δύο, ἓν δὲ μό-
νον ἐπιγινώσκομεν εὑρίσκεσθαι.

Εὐσεβίου εἰς τοὺς ψαλμούς.

Ὁ μὲν ψαλμὸς ἔοικεν ἀπὸ τοῦ ψαλτηρίου πα-
ρωνύμως ἐπικεκλῆσθαι· λέγεται δὲ ψαλ-
τήριον ὄργανον τι μουσικὸν παρὰ
τὴν κιθάραν διαλλάττον τῷ σχήματι ἐν ᾧ
τὴν ἀνακρουομένην ᾠδὴν ψαλμὸν
προσαγορεύεσθαι· ᾠδὴν δὲ εἶναι τὴν διὰ
μέλους ἀναφωνουμένην ἄνευ ὀργάνου
ἐπιστήμῃ μουσικῇ· ψαλμοὺς δὲ ᾠδὰς λέ-
γεσθαι ἐπειδὰν προαπηχησαμένης τὸ αὐτὸ
τῆς ᾠδῆς μέλος διὰ τοῦ ψαλτηρίου
κρουσθῇ ᾠδὴ ἢ ψαλμοῦ τὸ ἀνάπαλιν. ὡς ἐν
ταῖς ἱστορίαις τῶν βασιλειῶν καὶ τῶν παρα-
λειπομένων :~

# † Θεοδώρου τοῦ προδρόμου εἰς τοὺς ψαλμοὺς ἑρμηνεία.—

„ μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη I
„ ἐν βουλῇ ἀσεβῶν :—

Τοῦτον καὶ τὸν μετὰ τοῦτον ψαλμὸν ἀνεπιγράφους ἔχοντες καταλείπομεν, οὐ τολμήσαντες τι παρ' ἑαυτῶν προσθεῖναι τοῖς λογίοις τοῦ πνεύματος. οὐχ ἧττον δογματικὸς ἢ ἠθικός ἐστιν ὁ ψαλμός. περιέχει γὰρ οὐ μόνον ἁμαρτωλῶν, ἀλλὰ καὶ ἀσεβῶν κατηγορίαν, καὶ παραινεῖ προσέχειν τοῖς θείοις λογίοις :—

„ Καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ
„ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν :—

Ἁρμοδίως λίαν ὁ μακάριος Δαβὶδ μακαρισμὸν τῆς οἰκείας συγγραφῆς προ-

τέθηκεν

προστέθηκεν μιμούμενος τὸν σ(ωτῆ)ρα χ(ριστό)ν

ὃς τῆς π(νευματ)ικῆς διδασκαλίας ἀπὸ μακαρισ-

μῶν ἤρξατο. ὁ δὲ μακάριος ἄνωθεν σο-

I

φ. ὑπάρχειν, ἀνύπαρχον προσηγοριῶν.

εἴρηνται τῶν θείων ὑπάρχει προ-

σηγορίαν. μετέδωκεν δὲ ἡμῖν αὐτοῦ

καθὰ καὶ τὸ θεῖον, καὶ τὸ πιστόν. καὶ ὅσα

αὐτῷ προσθήκη, καὶ πάντου τέστι τῆς κα-

τάσεως τῆς τελειώσεως, ὥσπερ γὰρ ἕκαστον

τελειούμενον:

τῶν ἐπιτηδευμάτων ἐστὶ τελειούμενον

λέγομεν δὲ ὅτι τῆς π(νευματ)ικῆς φωτίσεως

ἐστὶ τὸ εἰσακοῦσαι τῷ τῆς δεήσεως. πάντων

ὁ μακαρισμὸς τὸν ἄνδρα, καὶ τὴν γυ-

ναῖκα ἐπισύρει τὸν δὲ ἁμαρτωλὸν

ἑαυτοῦ φησιν ἐλυμήνατο.—

" Ἀλλ᾽ ἢ ἐν τῷ νόμῳ κ(υρίο)υ τὸ θέλημα αὐτοῦ

Καλῶς φησι τὴν ὁδὸν τὴν συγκαθεῖναι καθέ-

δραν

καθέδραν, καὶ τὰ θεῖα θελήματα, εἰ-
κότως ἀπήκασε τὸν βίον τῶν ἁμαρ-
τωλῶν παρομοίως ὡς διεφθαρμένων σὺ
καὶ πλήθους λιμοῦ ὅτι μετὰ δικαίων
μὴ τηρήσασι καὶ οὐ μετὰ διδόντα τοῖς
ἔργοις αὐτ.

,, Καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας
,, καὶ νυκτός, καὶ ἔσται ὡς τὸ ξύλον τὸ
,, πεφυτευμένον παρὰ τὰς διεξόδους
,, τῶν ὑδάτων ὃ τὸν καρπὸν αὐτοῦ
,, δώσει ἐν καιρῷ αὐτοῦ καὶ τὸ φύλλ(ον)
,, αὐτοῦ οὐκ ἀπορρυήσεται.~

Ἐπὶ τὸν νόμον καὶ ταῖς ἐντολαῖς ἀεὶ ἐμμελετῶν
λαλεῖν καὶ λέγειν καὶ μελετήσεις ῥυθ-
μίζων τὴν κακίαν ἐπάγει τῶν ἀνόμ.
,, Καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται

Τὸ πάντα οὐχ ἁπλῶς πρόκειται· ἀπαγο-
ρεύσας γὰρ πρότερον τῆς κακίας τὰ εἴδη
καὶ τὸν θεῖον νόμον ὑποδείξας τὴν τελει-
ότητα, οὕτω φησὶ ~~πάντα διχρονία~~. πάν-
τα δεικνὺς ὅτι οὐδὲν ἐναντίον ὁ
τοιοῦτος τοῖς θείοις νόμοις ποιήσει.

» Οὐχ οὕτως οἱ ἀσεβεῖς οὐχ οὕτως ἀλλ᾽ ὡς ὁ χνοῦς
» ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου
» τῆς γῆς

Τῶν διαπλασιασμῶν τῆς ἀπαγορεύσεως τὴν
ἐναντιότητα δικαίων πολλῶν· ἐκεῖνοι
γάρ φησι περὶ θεῷ ὡς ἀρδόμενοι ἀειθαλεῖς
εἰσὶν οὗτοι δὲ ὑπὸ τοῦ ἐναντίου πνεύματος τῇ-
δε κἀκεῖσε φέρονται ὡς ὁ χνοῦς ῥᾳδίως
μεταφερόμενοι.

» Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρί-
» σει οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ
» δικαίων.

» δικαίων

Ἀκριβῶς τὸ θεῖον ὁρᾷ πάντα· διό φησι
οὐκ ἀναστήσονται ἐν κρίσει ἀλλ' εἰς
κατάκρισιν δῆλον ἐστὶν οὕτως ἔλεγχον
δὲ οὐ δεῖται προφανῆ τὴν ἀσέβειαν ἔχον-
τες ἀλλὰ τὴν τιμωρίαν προσδέχονται
μόνην :-

» Ὅτι γινώσκει κύριος ὁδὸν δικαίων :-

Οἶδε φησὶ πάντα ὁ δίκαιος κριτὴς καὶ προ-
κρίσεως, καὶ οὐ δεῖται ἀποδείξεων διό
τὰ πρὸς ἀξίαν ἀπονέμει ἑκάστῳ·

» Καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται :-

Τοῦτο ἔοικε. τὸ ἐξίτηλον τὸ ἔργον καταπή-
σεται ζημιωθήσεται· τῶν μὲν γὰρ δικαί-
ων ἀνδρῶν, καὶ τὸ ἔργον μένει δια-
λαμπρὸν τοῖς δὲ ἀσεβέσι, καὶ ἡ πονηρία
συγκαταλύεται :- Ψαλμὸς τῷ Δαβίδ. α̅

Ἐν τῇ μνήμῃ τῶν ἀσεβῶν τοῦ πρώτου συμ-
περάνας ψαλμοῦ ἐκ ταύτης καὶ τοῦ
δευτέρου τὴν ἀρχὴν ἐποιήσατο δηλῶν
ὅτι τὸ αὐτὸ τέλος τῶν ἀσεβῶν καὶ τοὺς
κατὰ τοῦ χ͞ρ͞ς λυττήσαντας διαδέξεται
ἐν τούτῳ γὰρ τῷ ψαλμῷ. τοῦ χ͞ῦ τὰ
ἅμα πάθη. καὶ τὴν βασιλείαν προαγο-
ρεύει καὶ τῶν ἐθνῶν τὴν κλῆσιν καὶ τῶν
ἰουδαίων τὴν ἀπιστίαν:

» Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν
» κενά. παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ
» οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ
» κατὰ τοῦ κ͞ῦ καὶ κατὰ τοῦ χ͞ῦ αὐτοῦ :~

Θεν. Ἀντὶ τοῦ ἐφρύαξαν ὁ μὲν ἀκύλας ἐθορυβήθησαν
ὁ δὲ σύμμαχος κακὰ ἡρμηνεύκασιν:~

» Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀπο-
» ῥίψωμεν ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν :~

αὐτῶν

αὐτῷ:

Ταῦτα τὸ ἅγιον πνεῦμα τοῖς πιστοῖς ἐγκελεύεται
λέγειν. δεσμοὺς τῶν δυσσεβῶν ἐθνῶν,
+ ζυγὸν τῶν παρανόμων ἰουδαίων ὀνο- Iern fol 942
μαζόντων, καὶ λάβωμεν τὸν χριστὸν κυρίου ξ. ὀνομάζον.
ζυγὸν ἐφ' ἡμᾶς ὥσπερ πατρὸς καὶ υἱοῦ ταῦ-
τα οἱ ἰουδαῖοι εὐκόλως γὰρ ὁ μὴ τιμῶν
τὸν υἱὸν οὐδὲ τὸν πατέρα:
" ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς
" καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς:
ὁ ὑπάτων φησὶ θρονωθεὶς ἐν οὐρανοῖς τῶν
ματαίων αὐτῶν δείκνυσι τὰς βουλάς
ὁ δὲ τοῦ αὐτοῦ πατὴρ ἀξίαν αὐτοὺς εἰσπρά-
ξεται δίκην:
" Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ
" καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς:
Ταῦτα περὶ τῆς τῶν ῥωμαίων ἐπισυ-

στάσεις

ἐπιστασίας· καὶ ἁλώσεως τῶν ἱεροσολύμων
φησὶν
›› Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ
›› ἐπὶ σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ διαγγέ=
›› λων τὸ πρόσταγμα κυρίου. κύριος εἶπε πρός=
›› με υἱός μου εἶ σύ ἐγὼ σήμερον γεγέν=
›› νηκά σε:

Εἰς τὸ ὑπ' αὐτοῦ σήμερον προσήκει εἶτα ἐπα=
ναγεῖν ἐπὶ σιὼν διαγγέλων τὸ πρὸς τὸν
χριστόν. πάντων μὲν γὰρ ἐπὶ βασιλεύσ
ἐπὶ δὲ τῆς ἰουδαίας τὴν θείαν αὐτοῦ
διδασκαλίαν προσήνεγκεν οἱ δέ γε
τῆς θείας διδασκαλίας τὰ νάματα πιστευ=
θέντες· εἰς πάντα κόσμον αὐτὰ μετω=
χέτευσαν. τὸ δὲ κατεστάθη βασιλεὺς ὑ=
π' αὐτοῦ ἀνθρωπίνως φησίν· ὡς γὰρ θεὸς ἔμ=
φυτον ἔχει τὴν βασιλείαν ὡς δὲ ἄνθρωπος

ἄνθρωπος

ἄνθρωπος χειροτονητὴν δέχεται ταύτην·
ὁμοίως καὶ τὰ ἐξ ἧς τὸ χ(ριστὸ)ς εἶπε πρός-
με καὶ τὸ σήμερον γεγέννηκά σε:-
» αἴτησαι παρ᾽ ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν
» κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου
» τὰ πέρατα τῆς γῆς· ποιμανεῖς αὐτοὺς ἐν
» ῥάβδῳ σιδηρᾷ ὡς σκεῦος κεραμέως
» συντρίψεις αὐτούς:-

Ὁμοίως καὶ ταῦτα τοῦ ἀνθρωπίνου ἐστὶν ἐπει-
δὴ ὅτι πάλαι ἰουδαίων μόνων ἐδόκει
προμηθεῖσθαι· ἐγεννήθη γὰρ φησὶ μερὶς
κ(υρίο)υ λαὸς αὐτοῦ ἰακώβ. ἀπεβλήθη δὲ οὕ-
τως ἀποικίαν παρανομ(ίας)· εἰκότως ἐπὶ τὰ
ἔθνη μεταφέρει τὴν προμήθειαν οὐ-
δὲ πάλαι αὐτῶν ἠμελήκει· διὸ καὶ ἀπειλητικῶς
τοῖς ἰουδαίοις φησί· ποιμανεῖς αὐτοὺς ἐν
ῥάβδῳ σιδηρᾷ ἀπ᾽ αὐτῶν δῆλον ὅτι προσ-
θεὶς

Τρωθεὶς. ῥάβδον δὲ στηρίξαντι ῥωμαΐ=
κὴν καλεῖ βασιλείαν. εἰ δέ τις περὶ
τῶν ἐθνῶν τοῦ τοιούτου ἐθέλοι ῥάβδον
στηριγμὸν τὴν ἰσχυρὰν καὶ ἄρρητον
βασιλείαν τοῦ χυ. συντριβὴν δὲ τὴν διὰ
τοῦ λουτροῦ τῆς παλιγγενεσίας τῶν πιστῶν
μετάπλασιν.

„ Καὶ νῦν βασιλεῖς σύνετε παιδεύθητε
„ πάντες οἱ κρίνοντες τὴν γῆν:

Ταῦτα παραίνεσις ἐστὶ: βασιλεῦσι. καὶ ὑπη=
κόοις τὰ περὶ προσταγμάτων ἐγκελευόμενα.
καὶ τὴν διὰ τῶν θείων νόμων παιδευθῆ=
ναι διδασκαλίαν.

„ Δουλεύσατε τῷ κῷ ἐν φόβῳ καὶ ἀγαλλιᾶσ=
„ θαι αὐτῷ ἐν τρόμῳ.

Οὐ γὰρ μόνης τῆς φιλανθρωπίας θαρρεῖν δεῖ
ἀλλὰ δεῖται καὶ τῆς ταύτης συνημμένης

μένη

σιωπημένης δικαιοσύνης ἀγαλλιωμένους ἐπὶ
τῇ ὁσίᾳ καὶ τρέμοντας δοὺς τὴν πλῶσιν,
ὅταρ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ
φησίν:
,, Δράξασθε παιδείας μή ποτε ὀργισθῇ κς.
,, καὶ ἀπολεῖσθαι ἐξ ὁδοῦ δικαίας :-
Οὐκ ἀρκεῖ μόνη ἡ πίστις ἀλλὰ δεῖ καὶ πρᾶξις.
ως . τῆς ἐπιλαμβανόμενοι φησὶ, τὴν ἀπλα=
νῆ πορείαν ὀδεύσατε :-
,, Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ μα=
,, κάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ
Ἐν τῷ τῆς κρίσεως καιρῷ ὥσπερ πῦρ τὴν
δικαίαν ὀργὴν ἡ ἡμετέρα πονηρία
ἐκκάει τηνικαῦτα οὖν φησὶν οἱ εἰς αὐτὸν
ἐλπικότες μακάριοι :-
,, Ψαλμὸς τῷ Δαδ ὁπότε ἀπέδρασκεν

ἀπό.

» ἀπὸ προσώπου ἀβεσαλὼμ τοῦ υἱοῦ αὐ-
» τοῦ ἐν τῇ ἐρήμῳ:-
» Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με:

Μετὰ τὴν διπλῆν ἐκείνην παρανομίαν ὁ θεῖος δαβὶδ πολλαῖς περιέπεσε συμφοραῖς· οὐ γὰρ μόνον τὰ προσοικοῦντα ἔθνη πρὸς πόλεμον ἐκινήθη ἀλλὰ καὶ ὁ οἶκος τὴν στάσιν ἐδέξατο τὴν γὰρ ἀκολασίαν τοῦ ἀμνὼν ἡ τοῦ ἀβεσαλὼμ διεδέξατο μιαιφονία τὴν δὲ ἡ κατὰ τοῦ πρς ἐπανάστασις κατ' ἐκεῖνον οὖν τὸν καιρὸν τὸν πατραλοίαν φεύγων υἱὸν τοῦτον ἔγραψε τὸν ψαλμόν:

» Πολλοὶ ἐπανέστησαν ἐπ' ἐμέ· πολλοὶ λέγου-
» σι τῇ ψυχῇ μου οὐκ ἔστι σωτηρία αὐτῷ ἐν
» τῷ θεῷ αὐτοῦ

Πολλοὶ ἐπανέστησαν τὸ πολλοὶ πολέμιοι φησὶ

φησὶ πανταχόθεν προσβάλλουσιν ἀμιώθημεν
πάντα πάσοι ἐπιτωθάζοντα, καὶ τῆς σῆς
μελετῶν τέξε γεγυμνῶσθαι προμηθείας
ἐγὼ δὲ οἶδα ὅτι καὶ μεγάλα ἡμάρτηκα·
οὐκ ἂν ἐξ ἥμε παιδεύειν τοῦτο γὰρ ἐπάγγα=
γε τὸ σὺ κε ἀντιλήπτωρ μου εἶ:-

,, σὺ δὲ κε ἀντιλήπτωρ μου εἶ δόξα μου καὶ
,, ὑψῶν τὴν κεφαλήν μου:-

Οὐ γὰρ τὴν βασιλείαν θαρρῶ ἀλλὰ σὲ ἔχων δό=
ξαν ὑπὸ τῆς σῆς ἐλπίζω ταχέως ὑψω=
θήσεσθαι δεξιᾶς:

,, φωνῇ μου πρὸς κν ἐκέκραξα φωνῇ μου
,, πρὸς κν ἐδεήθη, καὶ ἐπήκουσέ μου ἐξ
,, ὄρους ἁγίου αὐτοῦ:

Οὐ φωνῶ καὶ βοῶ ἐνταῦθα τῇ κραυγῇ
μονητέον ἀλλὰ τῇ τῆς ψυχῆς προθυμίᾳ

μιαν

προθυμίαν. τὸ δὲ εἰσήκουσέ μου ἐξ ὄρους
ἁγίου αὐτοῦ κατὰ τὴν πάλαι κατέχουσαν
ἐπέπηκται δόξαν ἐνόμιζετο γὰρ ἐν τῇ
σκηνῇ κατοικεῖν ὁ τῶν ὅλων θεὸς ἐπει-
+ δὴ καὶ τοὺς χρησμοὺς τοῖς ἱερεῦσιν
ἐδίδου ἐκεῖθεν:-
» Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα ἐξηγέρθην
» ὅτι κε ἀντιλήψεταί μου:-

Calamitas nox.

Νύκτα τὰς συμφορὰς πολλάκις ἡ θεία
καλεῖ γραφή. ταῖς δὲ νυξὶν ὕπνος συνέ-
ζευκται σημαίνει τοίνυν κατὰ ταὐτὸν
τὰς θλίψεις καὶ τὴν τούτων ἀπαλλαγήν:
» Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ
» τῶν κύκλῳ συνεπιτιθεμένων μοι:-

Ἀρκεῖ γάρ φησι καὶ μόνον παρὼν ἐπαμύ-
νειν διὸ οὐ φοβηθεί.
» Ἀνάστα κε σῶσόν με ὁ θεός μου ὅτι σὺ

ὅτι σὺ

» ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνον=
» τάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν
» συνέτριψας :—

Τελει. μοι μετὰ δόξης τῆς σωτηρ. καὶ καθὼς
πολλάκις τοὺς ἀδίκους κατ᾽ ἐμοῦ δυσμε=
νείαν ἐσχηκότας εἰς ἔπραξω τῆς ἀλ=
κῆς. οὕτω με καὶ νῦν τῆς θείας ἀξίωσον
τῆς σῆς ... ὀδόντας ἁμαρτωλῶν συνέ=
τριψας ἀντὶ τοῦ πάσης αὐτοὺς ἰσχύος ἐγύ=
μνωσας καὶ ... μετὰ φορᾶς τῶν θηρί=
ων αὐτῶν στερούμενα οὐ καταφρόνη
τα λίαν εἰσὶν καὶ συμπαταγωνίσματα·
» τοῦ χριστοῦ ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλο=
» γία σου :

Οὐκ ἔχω φησὶν εἰς ἄνθρωπον τὴν ἐλπίδα
ἀλλὰ περὶ σοῦ τὴν σωτηρίαν προσμένω

μένω

προσμένω οὐχ ἐγὼ δὲ μόνον ἀλλὰ καὶ
ὅσος λαὸς σὸς ὦ δέσποτα καὶ τούτοις
κἀκεῖνοι τῶν τῆς εἰρήνης εὐλογίαν.

ψαλμὸς, ξ΄. εἰς τὸ τέλος ᾠδὴ τῷ δαδ

Ἀντὶ τοῦ εἰς τὸ τέλος. α΄ χῦ καὶ θεοδοτίων.
τῶν μὲν ποιαὐν, ὁ δὲ σύμμαχος ἐπινί-
κιος φησὶ ὅτι μαίνεσθαι. τὸ μὲν εἰς τὸ
τέλος ὅτι ἐπ' ἐσχάτων τῶν ἡμερῶν τὰ προφητευ-
όμενα πληρωθήσεται. προαγορεύει
γὰρ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἐν τῷ
λέγειν ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτῷ ἐκοιμή-
θη. κατὰ δὲ τοὺς λοιποὺς, ὕμνος ἐπι-
νίκιος μετὰ τὴν κατὰ ἀβεσσαλὼμ νίκην
διδάσκει δὲ ἐν τούτῳ τῷ ψαλμῷ καὶ τοὺς
ἀσθενεῖ νοσοῦνται ἐπικ ὁ προμοσούμενος
ἐπὶ τῶν ἀπάντων

γρ. ἀσθεία

.. ἑρ τῶ

„ Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ θεὸς
„ τῆς δικαιοσύνης μου.

Μάθετε ἀπ' ἐμοῦ ἐπὶ τῶν εἰς ἐμὲ γεγενημένων ὅπως καὶ ἐφέστηκε τοῖς ἀνθρώποις ὁ τῶν ὅλων θεὸς καὶ τῶν εἰλικρινῶς ἐπικαλουμένων ἀκούων, ἐγὼ γοῦν παραυτίκα προσευχόμενος τοῦ δεῖσθαι ἔτυχον τῆς αἰτήσεως δεήσεως· τὸ δὲ τῆς δικαιοσύνης μου ἀντὶ τοῦ τῆς δικαίας μου αἰτήσεως τέθηκεν· τὸ γὰρ ἴδιον τοῦ φρονήματος διὰ ἀρετῆς ἐθέλει μαρτυρεῖν.

„ Ἐν θλίψει ἐπλάτυνάς μοι· οἰκτείρησόν με, καὶ
„ εἰσάκουσον τῆς προσευχῆς μου.

Τὸ δὲ ἐπλάτυνας σημαίνει ὅτι καὶ ἐν αὐταῖς ταῖς θλίψεσιν τῆς σῆς ἐπακουεῖ καὶ ψυχαγωγίας ἀπήλαυσα·

ἁγ. ἀρων

" Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι
" ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε
" ψεῦδος καὶ γνῶτε ὅτι ἐθαυμάστωσε κύριος
" τὸν ὅσιον αὐτοῦ. κύριος εἰσακούσεταί μου
" ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν:

Ἐκ τῶν εἰς ἐμὲ γεγενημένων μάθετε φησὶ
τοῦ θεοῦ τὴν πρόνοιαν, καὶ τοὺς ματαίους
ὑμῶν λογισμοὺς ἀπορρίψατε γνῶτε
ἐθαύμασεν ἀντὶ τοῦ περιφανέστατα:
ϛ. ἐποίησε γνῶναι με ἐπο(ίησε): ὀνομάζει τὸν ἄνθρωπον φησὶ βαρυ-
καρδίους δὲ τοὺς ἀπίστους ἐκ μεταφο-
ρᾶς τῶν ἀπὸ μέθης οὐ δυναμένων βλέ-
πειν.
" Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε:

Ἀγανακτεῖτε φησὶ τοὺς ἀδίκους εὐημε-
ροῦντας ὁρῶντες, ἀλλὰ μὴ αὔξητε κακῶς
+. [redacted] τὸ κακόν, πείθοντες καὶ ἄλλους ἀπρονο-
νόητα

ἀπρονόητα λέγεντα ὄντα:

" Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν ἐπὶ ταῖς
" κοίταις ὑμῶν κατανύγητε:~

Ἐπειδὴ ἡ νὺξ τοῦ θλίβειν ἀπήλλακται τῶν
τῆς κατανύξεως φαρμάκων, τὰ μεθη-
μερινὰ πλάσματα, ἐν αὐτῇ γαλήνῃ, φησί:

" θύσατε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε
" ἐπὶ κν̄:

Διὰ τούτων τῶν νομικῶν λατρειῶν ὡς περὶ
τῶν ἀποπ.. . καὶ τῶν διὰ ἀρετῆς θυσίαν
προτρέπει ὡς τιμιωτέραν θῷ σιωπωμέ-
νης αὐτοῦ τῆς ἐπὶ τοῦ κῦ ἐλπίδος ἐπει-
δὴ πολλοὶ καὶ διὰ τὸ καλὸν ἐπιτηδεύου-
σι καὶ οὐ δι' εὐσέβειαν τὴν εἰς θν̄:

" πολλοὶ λέγουσι τίς δείξει ἡμῖν τὰ ἀγαθά

Ἀιτιῶνται τοὺς βαρεῖς καιροὺς, ~~καὶ δυσ..~~ φησὶ δυσχεραί-
νονται

δυσχεραίνονται ἐπὶ τοῖς περιπίπτουσι λυ-
πηροῖς·

,, ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώ-
,, πουσου κ(ύρι)ε ἔδωκας εὐφροσύνην εἰς τὴν
,, καρδίαν μου:–

Ἐκεῖνοι μὲν γάρ φησι ταῦτα ἡμεῖς δὲ οἱ τῇ
θεογνωσίᾳ φωτισθέντες ἀπολαύομεν, ἔ-
χομεν παρὰ ψυχὴν τὴν εἰς σὲ ἐλπίδα·

,, ἀπὸ καρποῦ σίτου οἴνου, καὶ ἐλαίου·
,, αὐτῶν ἐπληθύνθησαν:–

Πάλιν ἐκείνων κατηγορεῖ τῶν λεγόντων
τίς δείξει ἡμῖν ὡς τὸ σοῦτον καὶ κατὰ
τὸν παρόντα βίον ἀγαθῶν ἀπολαμβα-
νόντων καὶ ἀχαριστίαν νοσούντων:–

,, εἰρήνη ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ
,, ὑπνώσω ὅτι σὺ κ(ύρι)ε κατὰ μόνας ἐπ' ἐλ-
,, πίδι κατῴκισάς με:–

Ἐπειδὴ πολλοὶ ἐνταῦθα ἀδικηθέντες·

τὸν

τὸν βίον μετήλλαξαν οὐδὲ μὴ εὑρόντες
ἀναψυχήν. οὐδὲ καὶ μετὰ θάνατον ἔσται
τῶν ἀγαθῶν ἐλπίς:

„ Ψαλμὸς, ε, ὑπὲρ τῆς κληρονομούσης:

Κληρονόμον ὁ θεῖος ἀποκαλεῖ λόγος κοι-
νῶς μὲν τὴν τοῦ θεοῦ ἐκκλησίαν ἰδικῶς
δὲ τὴν εὐσέβειαν σῴζουσαν ψυχήν:

„ Τὰ ῥήματά μου ἐνώτισαι κύριε σύνες τῆς
„ κραυγῆς μου πρόσχες τῇ φωνῇ τῆς
„ δεήσεώς μου ὁ βασιλεύς μου καὶ ὁ
„ θεός μου :-

Πολλὰ εἰς πάντοθεν βαλομένην τὴν εὐσεβῆ //
ψυχὴν ἡ ἐκκλησία διδάσκει ὅπως προ-
σήκει τὸν τῶν ὅλων ἱκετεύειν θεὸν καὶ βα-
σιλέα οὔτε δὲ τὴν κραυγὴν οὔτε τὰ ἄλλα
οὕτω νοητέον σωματικώτερον γὰρ περὶ +

θεοῦ

θῦ λαλεῖν ἔθος τῇ γραφῇ καὶ ἀπὸ τῶν ἀνθρωπίνων μνειῶν τὰ θεῖα ἐντεῦθεν.
ἀποκαλεῖν τὸ δὲ ἐνώτισαι ἀντὶ τοῦ εἴσω τῶν ὤτων σου γενέσθω τὰ ῥήματα τῆς προσευχῆς μου:
'' Ὅτι πρὸς σὲ προσεύξομαι κύριε τὸ πρωΐ εἰ-
'' σακούσῃ τῆς φωνῆς μου:
Θαρροῦσα ὡς δέχῃ τὰς ἐμὰς ἱκεσίας εὐθὺς τοῦ φωτὸς ἀνίσχοντος ἀποσεισαμένη τὸν ὕπνον διὰ δὲ βασιλεῖ καὶ δεσπότῃ σοὶ παρίσταμαι τὴν αἴτησιν σοὶ προσφέρουσα.
'' Τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψει-
'' με ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν
'' σὺ εἶ.
Οὐ παντὸς ἐπιλέγων τῷ τῶν ὅλων θεῷ παραστήσομαί σοι καὶ ἐπόψομαι ἀλλὰ
+ κατὰ τὸν μέγαν ἠλίαν ὡς διὰ τῶν
τῶν

τὴν παῤῥησίαν φησὶ ζῇ κύριος ᾧ παρέστην ἐνώ-
πιον αὐτοῦ σήμερον:

» Οὐ παροικήσει σοι πονηρευόμενος· οὐδὲ διαμε-
» νοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλ-
» μῶν σου, ἐμίσησας πάντας τοὺς ἐργα-
» ζομένους τὴν ἀνομίαν ἀπολεῖς πάντας
» τοὺς λαλοῦντας τὸ ψεῦδος. ἄνδρα αἱ-
» μάτων καὶ δόλιον βδελύσσεται κύριος:

Τὸν τῆς κακίας κατάλογον εἰς μέσον παρή-
γαγε ἐναντία δεικνὺς ἅπαντα τοῦ θείου
θελήματος οὐ γὰρ μόνον ἀπαγορεύει
πονηρίαν καὶ παρανομίαν, καὶ δόλον
καὶ μιαιφονίαν ἀλλὰ καὶ τοὺς τούτων
ἐργάτας βδελύττεται μετανοίᾳ προσέ-
χειν οὐ βουλομένους:—

» Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσε

λεύσομαι

" εἰσελεύσομαι εἰς τὸν οἶκόν σου προσκυ-
" νήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

Τῆς γὰρ σῆς ἀπολαύουσα φιλανθρωπίας
καὶ τῇ σῇ δεξιᾷ φρουρουμένη τῷ
διηνεκεῖ σοὶ προσφέρω προσκύνησιν
ἐν τῷ ἀφιερωμένῳ τῇ σῇ δόξῃ ναῷ
τὸν σὸν ἀεὶ περιφέρουσα τὸν φόβον.

" Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου
" ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον
" ἐνώπιόν σου τὴν ὁδόν μου.

Ἐν μιᾷ τῶν ἀντιγράφων ἐνώπιόν μου τὴν ὁδόν-
σου ἔχει. ἐκάλεσεν δὲ τῆς εὐσεβοῦς ἐκείνης
διανοίας; εἴτε γὰρ ἡ ἡμετέρα ὁδὸς κα-
τευθυνθείη ἐνώπιον τοῦ Θεοῦ πλάνης
οὐ ληψόμεθα πεῖραν, εἴτε ἡ τοῦ Θεοῦ
ὁδὸς ἐνώπιον ἡμῶν κατευθυνθείη,

αὐτῷ

αὐτὴν ὁδεύσομεν καὶ πρὸς αὐτὴν προ=
θύμως δραμούμεθα ὁ δὲ σύμμα
χος ἀντὶ τοῦ καλέσθυμον, ὁ μάλιστα
εἴρηκε ταπεινοφροσύνης δὲ μετὰ τῆς
κληρονομούσης τὰ ῥήματα οὐ γὰρ
αἰτεῖ δι' αὐτὴν ἑαυτῆς δικαιοσύνην
κατευθυνθῆναι αὐτῷ τὴν ὁδὸν ἀλλὰ
διὰ τοὺς ἐχθροὺς τοὺς ἀσεβεῖς συ=
ζῶντας καὶ ἀδίκως αὐτῇ πολεμοῦντας
εἶτα αὐτῶν καὶ κατὰ μέρος διδάσκει
τὰ τῆς πονηρίας ἐπιτηδεύματα:
,, ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλη=
,, θεια ἡ καρδία αὐτῶν ματαία:
Τφ. ψάλλει φησὶ τὴν γλῶτταν μολύνουσα
διὰ παντὸς καὶ συνεχῶς, τοῖς λόγοις
δὲ καὶ οἱ λογισμοὶ συμβαίνουσι:

τάφος

" Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν:

Οἱ κεκλησμένοι τάφοι κεκρυμμένην ἔχουσι τὴν δυσοσμίαν οἱ δὲ ἀνεῳγμένοι πάλιν ἀποπέμπουσι τὴν δυσοσμίαν ταῦτα καὶ οὗτοι ἐκφαίνουσι ῥήματα δηλῶν ἀμίμητα τὰς κατὰ θεοῦ βλασφημίας καὶ τῆς ἀκολασίας καὶ ἀσελγείας τὰ ῥήματα:

" Ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν κρῖνον αὐτοὺς ὁ θεός ἀποπεσάτωσαν:

Χαλεπώτερα τῶν προσφερομένων τὰ κεκρυμμένα μυρία γὰρ κατὰ τῶν πέλας τυρεύουσι δόλῳ:

γρ. περαίνουσι

" Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν
" αὐτῶν κατὰ τὸ πλῆθος τῶν ἀσεβει-
" ῶν αὐτῶν ἔξωσον αὐτοὺς ὅτι παρε

πικράνανος

παρεπίκρανάν σε Χε:

Ἀχθήτωσαν τοιμὲν ὑπὸ τῷ σῷ κρίσιν
δέσποτα καὶ διαμαρτῶσι τῶν κατ' αὐτού= Corruptus locus.
σι καθ' ἡμῶν καὶ δότωσαν ποινὴν τῶν
τολμημάτων ἀξίαν κατὰ σοῦ γὰρ τὸν
πόλεμον κεκινήκασι πρὸς τοὺς ἀπο=
κειμένους σοι παραταξάμενοι·

" Καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπί=
" ζοντες ἐπὶ σοὶ εἰς αἰῶνα ἀγαλλιάσονται
" καὶ κατασκηνώσεις ἐν αὐτοῖς:

Τοῦτο δὲ τοὺς εἰς σὲ πεπιστευκότας ὁ δεσπο=
σύνης ἐμπλήσει καὶ παρέξει αὐτοῖς
εὐθυμηδίαν αἰώνιον .... ἐκείνων
ὄλεθρος ἀλλ' ἡ σὴ προμήθεια πει=.
θόντων ὡς οἰκεῖς ἐν αὐτοῖς τῆς σῆς
ἀχορηγ· καὶ προνοίαι τοῖς θεράπουσι=

Τοῖς σοῦ

θεραπόνταις σου χρειτούμενος.

" Καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ
" ὄνομά σου:

Οἱ ἐσφρὰς αὐτοὺς ἐραστὰς τοῦ σοῦ ὀνόματος καταστήσαντες ἐπὶ τῇ σῇ κηδεμονίᾳ μεγάλα φρονήσουσιν δοξηγούμενοι τὴν δύναμίν σου.

" Ὅτι ἀλογήσεις δίκαιον κέ ὡς ὅπλῳ
" εὐδοκίας ἐστεφάνωσας ἡμᾶς:

Εὐδοκίαν ἡ θεία καλῇ γραφὴ τὸ ἀγαθὸν τοῦ θεοῦ θέλημα, φησὶν οὖν ἐστι τὸ ἀγαθόν σου θέλημα καὶ ἡ πολλή σου περὶ ἡμᾶς φιλοστοργία τε καὶ ἀγάπη καὶ ὅπλον ἡμῖν γέγονεν νίκης πρόξενον καὶ στέφανος ἐπινίκιος:

" Ψαλμὸς, ς΄, εἰς τὸ τέλος ἐν ὕμνοις
ὑπὲρ τῆς ὀγδόης

ὀγδόης

Ὀγδόην τὴν μέλλουσαν κατάστασιν ὁ προ-
φητικὸς λόγος καλεῖ ἐπειδὴ γὰρ ὁ
παρὼν βίος δι' οὗς τῶν ἑπτὰ τῆς ἑβδομά-
δας ἡμερῶν ἀνακέκλειται εἰκότως
τὴν ἔξω τοῦ ἑβδοματικοῦ ἀριθμοῦ
ἀγῶνα ὀγδόην προσαγορεύει μετὰ
τὴν διπλῆν ἁμαρτίαν τοίνυν ὁ Δαβὶδ
ἐκείνην τὴν πραχθεῖσαν προσφέ-
ρει τῷ θεῷ τὴν ἱκεσίαν ταύτην ἱερα-
τευθῆναι παρακαλῶν, ὡς μηκέτι χώ-
ραν ἐχόντων ἐν ἐκείνῳ τῷ βίῳ τῶν
τῆς μετανοίας φαρμάκων:

" Κέ μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μηδὲ
" τῇ ὀργῇ σου παιδεύσῃς με.:

Οὐ παρακαλεῖ μὴ ἐλεγχθῆναι ἀλλὰ μὴ

μὴ

ἀλλὰ μὴ ἐνθυμῷ ~~θυμ~~ ἐγγὶ ἐξελέγχει μὴ
παιδεύθητω ἀλλὰ μετὰ μετ' ὀργῆς τοῦ
πάθους πατρικῶς μὲν φησὶ παίδευσον
μὴ δικαστικῶς μὴ μετρήσῃς τῇ ἁμαρ-
τίᾳ τὴν τιμωρίαν ἀλλὰ φιλανθρωπίᾳ
τὸ δίκαιον κέρασον:

„ Ἐλέησόν με κε ὅτι ἀσθενής εἰμι ἴασαί
„ με κε ὅτι ἐταράχθη τὰ ὀστᾶ μου:

Καλῶς φησὶν ἀσθενής εἰμι εἰ γὰρ μὴ
ἀσθενήσει τὸ ἐν ἡμῖν λογικὸν οὐ στα-
σιάζει τὰ πάθη.

„ Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα.

Ὀστᾶ τοὺς λογισμοὺς ὀνομάζει τροπι-
κῶς δι' ὧν τὸ ζῶον ἰθύνεται.

„ Καὶ σὺ κε ἕως πότε:

Οὐχ ὡς ἐγκαλῶν φησὶ τὸ ἕως πότε, ἀλλ' ἐν
ὀδύναις

ἐν θλίψεσιν ὢν ἐπὶ τὰ χείρω καὶ τὴν βοήθει=
αν παρακαλῶ:

» Ἐπίστρεψον κύριε ῥῦσαι τὴν ψυχήν μου σῶ=
» σόν με ἕνεκεν τοῦ ἐλέους σου:

Ἀντὶ τοῦ πρόσχες μοι καὶ μὴ ἀποστρέψῃς
τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, τοῦτο δὲ
ἐκ μεταφορᾶς τῶν ἀποστρεφομένων
τοὺς ἐπταικότας φησίν·

» Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημο=
» νεύων σου ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολο=
» γήσεταί σοι:—

Ἀντὶ τοῦ ἀποκέκλεισται τοῖς ἐντεῦθεν
ἀξιοῦσι τῆς μετανοίας ἡ θύρα:

» Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου λούσω
» καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου
» ἐν δάκρυσί μου τὴν στρωμνήν μου

βρέξω

Οἶδα χαλεπὰ πλημμελήσαι ἀλλὰ διη-
νεκῶς θρήνοις καταβρέχω τὴν μιαν-
θεῖσαν μου κλίνην κἂν τύχω δὲ
ἀφέσεως οὐ παύσομαι τοῦτο ποιῶν
τοῦτο γὰρ φιλοῦσι καθ' ἕκαστον:

„ Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός
„ μου.

Ἀντὶ μου τὸ ὀπτικὸν τῆς διανοίας τετάραχ-
ται εἰδὼς τὴν ἀγανάκτησιν δεσπότα
ὀφθαλμὸν γὰρ ἐνταῦθα τὸν νοῦν
φησὶ διὸ καὶ ἑνικῶς μνημονεύει

„ Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Πάντων μοι χαλεπώτερα τῶν ἐχθρῶν
τὰ ὀνείδη γὰρ μετήχει καὶ γῆρας
ἄωρον ἐπιφέρει:

„ Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργα
ζόμενοι

" ἐργαζόμενοι τὴν ἀνομίαν ὅτι εἰσήκου-
" σε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου
" ἤκουσε Κύριος τῆς δεήσεώς μου Κύριος
" τὴν προσευχήν μου προσεδέξατο.

Μηκέτι φησὶ ἐπιτωθάζετε οἱ τὰς οἰκείας οὐχ ὁρῶντες παρανομίας. τὰ δὲ ἐμὰ πλημμελήματα κωμῳδοῦντες τῆς θείας ἔτυχον εὐμενείας καὶ πέπεικα δι᾽ ὧν. ὧν ἠβούλησα, συγγνώμης ἔτυχον.

" Αἰσχυνθείησαν, καὶ ταραχθείησαν πάν-
" τες οἱ ἐχθροί μου ἀποστραφείησαν
" καὶ ταραχθείησαν σφόδρα διὰ τά-
" χους.

Ταῦτα τοίνυν εἰδότες παύσασθε με ἐμὲ ὀνειδίζοντες θρηνήσατε δὲ τὰ ὑμῶν ἁμαρτήματα αἰσχύνης καὶ θορύβου πι-
πλάμενοι

πεπτηχάμενοι δικαίου γὰρ καὶ φοβούμενα-
ς τοῦ θείου κριτοῦ:

Ψαλμὸς, ζ, τῷ δαδ ὃν ᾖσε τῷ κῷ ὑπὲρ
τοῦ λόγου χουσὶ υἱοῦ ἰεμε:

Ἀπὸ διδάσκων ὁ δαδ τοῦ παξαλίαν νέω
πεμπόμενος τὸν χουσὶ διασκεδάσαι τὰς
τοῦ ἀχιτόφελ συμβουλὰς καὶ διὰ τοῦ-
το δέδρακε ὁ χουσὶ πεῖσαι τὸν ἀβε-
σαλὼμ μὴ παραυτίκα διῶξαι τὸν πρα
ὁ δὲ θεῖος δαδ τῆς ἐξόδου τὴν ἀνα-
βολὴν λαβὼν σωτηρίας ἔτυχε. τοῦτον
οὖν τὸν ψαλμὸν οἷον ὕμνον καὶ
προσευχὴν προσφέρει τῷ σωτῆρι
θεῷ, καὶ διδάσκει καὶ τοὺς ὑπὸ τι-
νῶν ἀδικουμένους εἰς θεὸν ἔχειν

ἔχει

οἱ ἔχοντας ἐλπίδας, τοὺς ὁ ἀδικοῦντας
σκοπίζεται ~~[illegible]~~ τῇ μελούσῃ καὶ θεία χειρί.

» Κε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα σῶσόν με
» ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦ-
» σαί με μή ποτε ἁρπάσῃ ὡς λέων τὴν
» ψυχήν μου μὴ ὄντος λυτρουμένου μη-
» δὲ σώζοντος:–

Οὐδὲ μίαν, φησίν, ἀνθρωπίνην βοήθειαν θαρ-
ρῶ, τὴν δὲ μόνην ἐλπίδα περι-
φέρω, ἐν ἐμαυτῷ ἔχοιμι τῆς σῆς προ-
μηθείας, οὐδὲ διὰ γὰρ μὴ δίκην θηρίου
θηρὸς ἐπελθόντες οἱ πολέμιοι καὶ ἔ-
ρημον μὲν τῆς σῆς προνοίας εὑρόν-
τες, παντελῶς διαφθείρωσι:–

» Κε ὁ θεός μου εἰ ἐποίησα τοῦτο εἰ ἔστι ἀ-

δικία

» ἀδικία ἐν χερσί μου εἰ ἀνταπέδωκα-
» τοῖς ἀνταποδιδοῦσί μοι κακὰ ἀποπέ=
» σοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κε-
» νός· καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυ=
» χήν μου, καὶ καταλάβοι καὶ καταπατή=
» σαι εἰς χοῦν τὴν ζωήν μου καὶ τὴν δό=
» ξαν μου εἰς χοῦν κατασκηνῶσαι :-

Τῆς ἀρετῆς πολλὰ εἰσὶ μόρια, ἐν ταῦτα
τοῖς μὲν οὐ τὴν ἀρχὴν ἀρετὴν ἑαυτῶν
μαρτυρεῖ ἄλλο ἢ τούτους ἥκιστα τοὺς
πολεμίους ἠδικηκὼς τὴν ἄδικον
νει ὑπομένων φυγὴν οὐ μόνον γὰρ ἐπὶ
ἀδικίαις οὐκ ἦρξα, ἀλλ' οὐδὲ τοὺς ἠ=
δικηκότας ἠνεσχόμην ἀμύνασθαι
: . . . πώποτε

πώποτε τοῦ δὴ χαίρειν σε δέσποτα παρακα=
λῶ δικάσαιμεν δικαίως, καὶ εἰ ἡ τοιοῦ=
τον δέδρακα τῆς σῆς μὲ κηδαιμονί=
γυμνῶσαι. τοῦτο γὰρ ἐστὶ ἀποπέσοιμι
ἄρα ἀπὸ τῶν ἐχθρῶν μου. ὑποχείρι=
ον δὲ τοῖς ἐχθροῖς ἐκδοῦναι ὡσὰν μὴ forte ἐχθροῖ
μόνον τῆς παρὰ σοῦ με δόξης καὶ βα=
σιλείας γυμνώσαιεν ἀλλὰ, καὶ κατα=
κλάσω παραδοῖ ἐν θανάτω. ταῦτα γὰρ
σημαίνει λέγων καὶ τὴν δόξαν μου εἰς
χοῦν κατασκηνῶσαι:

" Ἀνάστηθι κε ἐν ὀργῇ σου ὑψώθητι ἐν
" τοῖς πέρασι τῶν ἐχθρῶν σου:

Ἐκχύων ἐν χόλῳ καὶ ἐν θυμῷ, . . .

θεσία

ὑπερθεσία, εἰ ἐπικαλοῦ ἀνάστηθι τοίνυν, ἀντὶ τοῦ μηκέτι μακροθυμήσεις φησὶν ἀλλ' ἐπίθεσο τοῖς ἐχθροῖς μου τὸ πέρας τῶν ἀδικῶν αὐτῶν ἔφοδον καταπαύσας:

Καὶ ἐξεγέρθητι κε ὁ θεός μου ἐν προστάγματι ᾧ ἐνετείλω συναγωγὴ λαῶν κυκλώσει σε, καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον. κς κρινεῖ λαούς:

Σὺ ἐνομοθέτησας φησὶ τοῖς ἀδικουμένοις ἀμύνειν ὅ οὖν ἢ τοῖς ἄλλοις ἐνετείλω ποιεῖν δρᾶσον αὐτὸς ὦ δέσποτα. ταύτης γάρ σου τῆς προνοίας δειχθείσης ἅπαντες σοὶ τοὺς ὕμνους προσοίσουσι καὶ θεὸν ὕψιστον ἀποκαλέσουσιν ἅτε δὴ πάντα ἐφορῶντα καὶ τῶν

τὴν ἀξίαν δίκην τοῖς ἀδικοῦσιν ἐπιτε=
θέντα. τὸ γὰρ εἰς ὕψος ἐπαιρόμενον,
ἀντὶ τοῦ ὕψιστου, ὡς φύσει. παρὰ δὲ +
τοῖς πολλοῖς ἀγνοούμενος δείχθητι ὅπερ
ὑπάρχεις διὰ τῆς περὶ τοὺς ἀδικουμέ=
νους κηδεμονίας. εἶτα προφητικῶς φη-
κεῖν..:
" Κρῖνόν με κύριε κατὰ τὴν δικαιοσύνην σου
" καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί:
Δικαιοσύνην τὴν ἐν τῷ προκειμένῳ πράγ=
ματι φησίν. οὔτε γὰρ τὸν ἀβεσαλὼμ
ἠδίκηκα τι, οὔτε τὸν ἀχιτόφελ κατὰ
ταύτην τοίνυν τὴν ἀκακίαν καὶ τὴν
δικαιοσύνην κριθῆναι παρακαλῶ. καὶ
αὐτὴν καθ' ἑαυτὴν τὴν ὑπόθεσιν κρι=
θῆναι ἱκετεύω καὶ μὴ ἐλέῳ δοῦναι.

δοῦναι

δοῦναι δίκας ἁμαρτημάτων:

" Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν

" καὶ κατευθυνεῖς δίκαιον:

Σύμμαχος ἀπαρτισθήτω ἡ ματαία

φησὶ δειχθείη τῶν κακίᾳ συζώντων

ἡ πονηρία, σπουδαιότεροι οἱ τῆς ἀρε=

τῆς τρόφιμοι τῶν προκειμένων αὐτοῖς

πορείαν ποιήσονται:

" Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ θεός

" καὶ δικαίως ἡ βοήθειά μου παρὰ

" τοῦ θεοῦ τοῦ σώζοντος εὐθεῖς τῇ καρδί=

" ᾳ μου:

\+ Νεφροὺς ἐνταῦθα τροπικῶς τοὺς λογισ=

μοὺς ὀνομάζει ἐπειδὴ τὰς ὑπογασ

Tert: Contra grech. [στ] τρίους ὀρέξεις οἱ νεφροὶ διεγείρουσιν

ἐντεῦθεν ἢ λοιπὸν κινοῦνται τῆς

τῆς

τῆς ἐπιθυμίας οἱ λογισμοί.

» Ὁ θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς, καὶ
» μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων
» καθεκάστην ἡμέραν. ἐὰν μὴ ἐπιστρα=
» φῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώ=
» σει· τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοί=
» μασεν αὐτό· καὶ ἐν αὐτῷ ἡτοίμασε
» σκεύη θανάτου:

Ἐντεῦθεν δὲ δίδεται τοὺς πονηρὰ συζῶν=
τας. Τὰς δικαίας τιμωρίας ὑποδεικ=
νὺς καὶ φιλανθρωπία ἀναβάλλον=
ται, εἴ ποτε τοῦ ἴδοι τοὺς ἀνθρώπους
διὰ ταύτην ὅ ὑπηρετοῦν καρπουμέ
νους, ἀπειλαῖς ἐκφοβεῖ. εἰδὲ καὶ οὕ=
τω καταφρονῶσι τότε τὴν παναληθείαν

θεία

πανωλεθρία ἐπάγει τὸ δίκαιον ἔχουσαν. ταῦτα δὲ καὶ διὰ τῶν ἑξῆς:

» Τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξηρ=
» γάσατο:

Διδάσκει κατὰ τίνων ἀφήσει τὰ βέλη. οἱ γὰρ τὼ ὑπέκκαυσον τῆς ἁμαρτίας ὕλην δεξάμενοι καὶ ξύλα καὶ χόρτον οἰκοδομήσαντες καὶ καλάμην, ἣ φησὶν ὁ θεῖος ἀπόστολος τοῖς πυρφόροις τούτοις βληθήσονται βέλεσιν:

» Ἰδοὺ ὠδίνησεν ἀδικίαν συνέλαβεν
» πόνον καὶ ἔτεκεν ἀνομίαν λάκκον
» ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν καὶ
» ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο

» εἰργάσατο· ἐπιστρέψει ὁ πόνος αὐτοῦ
» εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυ=
» φὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβή=
» σεται· ἐξομολογήσομαι τῷ κῷ κατὰ
» τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ
» τῷ ὀνόματι κῦ τοῦ ὑψίστου:

Ὁ ἀχιτόφελ· δῆλον ὅτι, τὴν πονηρὰν ἐ=
κείνην στησαμένην γνώμην. ἐκ — γ. δοκιμασάμενος
πονηρίας γὰρ τὴν ἰουδαίαν ὑπερβο= — γ. ἰδίαν
λὴν καταλιπούσης, διὸ φησὶν αὐτὸς
μὲν ταῖς δίκαις ἁλώσεται πάντως·
ἐγὼ δὲ τότε· τυχὼν τοῦ θῦ τῆς προ=
νοίας ὑμνήσω τὸν εὐεργέτην δι=
καστικῶς τῆς κρίσεως τὸ δίκαιον
στηρούμενος:

" Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν, η, ψαλμὸς
" τῷ δαδ:

Ἰστέον ὅτι ἐν ἑκάστῳ ψαλμῷ ἐνῷ οἱ
ἑβδομήκοντα τὸ εἰς τέλος τεθείκα=
σι, ἀκύλας καὶ θεοδοτίων. τὸν νι=
κοποιὸν ἡρμήνευσαν· ὁ δὲ σύμμαχος ἐπ
~~χος~~ ἐπινίκιος προσφέρεται τὸ κατα=
λύσαντι τὸν ἐχθρὸν καὶ ἐκδικητήν.
καὶ τοὺς ἀνθρώπους εἰς τέλος τῆς
ἐκείνου τυραννίδος ἐλευθερώσαντι.
ληνοὺς δὲ τὰς ἐκκλησίας προσα=
γορεύει ἐπειδὴ καὶ τὸν χν ἄμπελον.
μεγίστη δὲ αὐτὴ ἰουδαίων ἀπιστίας
κατηγορία πλῆθος γὰρ ληνῶν ἀκού
οντα

καὶ ἄλλοι στιχῆν ὁ ψαλμός ἐστι

ἀκούοντα καὶ ἰδεῖν· ἐπὶ αὐτοῖς μία ἐδό= γρ. ἀκούοντες καὶ ἰδεῖν ἔχειν.

θη λῆνος μᾶλλον δὲ προλήνιον κα=

τὰ τὸν ἠσαΐαν, προλήνιον γὰρ φησὶ

ὤρυξαν ἐν αὐτῷ νοεῖν οὐκ ἐθέλουσιν.

ἐπισκιαζομένων

ὡς ~~πάντα~~ τὰ ~~κατὰ~~ τῶν παλαιῶν ἐ=

πεφάνη δὲ τῆς νέας διαθήκης ἡ χά=

ρις ἐκ σωτηρίας, πάντας ἀνθρώ=

πους προσκαλουμένη.

» Κύριε ὁ θεὸς ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνο=

» μά σου ἐν πάσῃ τῇ γῇ.

Τὸ ὡς θαυμαστὸν ἐνταῦθα ἐπιχαριτικῶς γρ. ~~ἐπιτατικῶς~~.

σφόδρα γάρ φησι τὸ ὄνομά σου ὑπὸ

πάντων ἀνυμνεῖται.

» Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπὲρ

ὑπὲρ

„ ὑπὲρ ἄνω τῶν οὐρων:

Ἀντὶ τοῦ ἐμμως. ἅπαντες ὡς οὐρου καὶ γῆς καὶ τῶν ἁπάντων δεσπόζεις αὐτός μὲν γὰρ ἀεὶ τὸ μεγαλοπρεπὲς εἶχεν ἀλλὰ τοῖς ἀνθρώποις οὐκ τῷ γνώριμον ἀεί:

„ Ἐκ στόματος νηπίων καὶ θηλαζόντων
„ κατηρτίσω αἶνον, ἕνεκα τῶν ἐχθρῶν
„ σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκ-
„ δικητήν:

Νηπίους καὶ θηλάζοντας τοὺς ἀποστόλους φησὶν ὡς ἁπλότητος καὶ ἀμαθείας τὸν διάβολον καταλύσαντας ἢ κατὰ τὴν ἱστορίαν τοὺς ἑβραίους παλαιῶν ἡνίκα τὸν ἀναπίαν μετὰ κλάδων ἔλεγον. καταπείνειν φησὶ τὸν τῶν

Margin: γ. ἁπλότησι, καὶ ἀμαθίᾳ.
Margin: τὸ ὡσαννά

τῶν

τῶν ἰουδαίων λαόν, ὥστε ἐχθρὸν τῷ θεῷ
πράττειν, ὅτι τὸν διὰ τοῦ νόμον ἐκδικῶν
τὸν σωτῆρα ἐσταύρωσεν.—

" Ὅτι ὄψομαι τοὺς οὐρανούς ἔργα τῶν δακ-
" τύλων σου, σελήνην καὶ ἀστέρας ἃ σὺ
" ἐθεμελίωσας. τί ἐστιν ἄνθρωπος ὅτι
" μιμνήσκῃ αὐτοῦ ἢ υἱὸς ἀνθρώπου
" ὅτι ἐπισκέπτῃ αὐτούς:

Ἱκανή φησι καὶ τῶν στοιχείων ἡ εὐκοσμία
δεῖξαι σου τὴν μεγαλουργίαν ἡ δὲ
μέχρι τῶν εὐτελῶν ἀνθρώπων διή-
κουσα προνοία μειζόνως τὴν ἀ-
φατόν σου κηρύττει φιλανθρωπίαν.
τί γάρ ἐστιν ἄνθρωπός φησιν ὅτι μι-
μνήσκῃ αὐτοῦ. οὐ γὰρ μόνον τε τὸ
εἶναι παρέσχες ἀλλὰ καὶ κακῶς

κακοῖς

κακῶς διακείμενον ἐπισκέπτῃ:

" Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους.

Ἐνταῦθα τὴν μετὰ τὴν παράβασιν ἐμμνημόνευσεν ἀποφάσεως, τῷ θνητῷ γὰρ τῶν ἀγγέλων ἠλάττωται:

" Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν -
" καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα
" τῶν χειρῶν σου:

Ταῦτα μὲν τὴν θείαν Χριστοῦ ἐνανθρώπησιν, ἢ τὸν ἄνθρωπον ἐδέξατο φύσιν, ἥν φησιν ὁ θεῖος ἀπόστολος συνήγειρε. καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ:

" Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν
" αὐτοῦ πρόβατα καὶ βόας ἁπάσας
" ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου

τὰ

" τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας
" τῆς θαλάσσης τὰ διαπορευόμενα
" τρίβους θαλασσῶν. κύριε ὁ κύριος ἡμῶν
" ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πά-
" σῃ τῇ γῇ:

Καὶ αὕτη σου μεγίστη τῆς δυνάμεως ἀπό-
δειξις τὸν τὴν εὐτελῆ φύσιν τοσαύ- [illegible]
της ἐμπλήσεως, φησίν. ὥστε πάντων
κρατεῖν. τούτων μὲν οὖν ἁπάντων
κοινὴν δεδωκέναι τοῖς ἀνθρώποις
τὴν δεσποτείαν τὴν δὲ ἡμετέραν
ἀπαρχὴν ὁ θεὸς λόγος ἀναληφθεὶς ἐ-
κάθισεν ἐπάνω πάσης ἀρχῆς καὶ
ἐξουσίας, καὶ πᾶσαν τὴν ὁρατὴν καὶ
ἀόρατον κτίσιν ὑπέταξεν καὶ μαρ-
τυρεῖ παῦλος καὶ λέγει τὸ δὲ βραχύ

τι

βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον καὶ τὰ ἑξῆς. οὗτος γὰρ ὁ ψαλμὸς ὅλος τοῦ μονογενοῦς ἐνανθρώπησιν προλέγει, καὶ τῆς οἰκουμένης τὴν σωτηρίαν καὶ τὴν περὶ τοὺς ἀνθρώπους τοῦ θεοῦ κηδεμονίαν διδάσκει. διὸ ἐκπληττόμενος ὁ προφήτης πάλιν αὐτὸ τὸ προοίμιον ἀκροτελεύτιον τέθεικεν. κύριε ὁ κύριος ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά σου:-

" Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ

" ψαλμὸς τῷ ἀσάφ:

Σύμμαχος ἐπίνικον περὶ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, ἀκύλας τῷ νικοποιῷ νεανιότης τοῦ υἱοῦ αὐτοῦ. θεοδοτίων ὑπὲρ ἀκμῆς τοῦ υἱοῦ αὐτοῦ

αὐτοῦ

αὐτοῦ συμφώνως τοῖς τοῦ υἱοῦ μνη=
μονεύσαντα διδάσκουσιν ἡμᾶς ὡς
προφήτης. καὶ οὗτος ὁ ψαλμὸς περι=
έχει τὴν κατὰ τὸν θάνατον νίκην
τοῦ χῦ· κρύφιον δὲ τοῦτο τὸ μυστή=
ριον οἱ ἑβδομήκοντα φησὶν ἐπὶ δὲ
τοῦ τέλους. καὶ αὐτοὺς τοὺς ἀποστό=
λους ἐλάνθανεν

" Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου
" εἰς τὰ ὀπίσω ἀσθενήσουσι καὶ ἀπο=
" λοῦνται ἀπὸ προσώπου σου ὅτι
" ἐποίησας τὴν κρίσιν μου καὶ τὴν
" δίκην μου

Τῶν τελείων ἴδιον τὸ πᾶσαν ἀναθεῖ=
ναι τὴν καρδίαν τῷ θεῷ καὶ
πᾶσαν αὐτῷ καθιεροῦν τὴν διάνοι
αν

διάνοιαν καὶ μόνον τὴν ἔχειν ἀγαλ-
λιάσεως ἀφορμὴν καὶ ὑμνῳδίας
ὑπόθεσιν:

” Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρ-
” δίᾳ μου διηγήσομαι πάντα τὰ
” θαυμάσιά σου εὐφρανθήσομαι
” καὶ ἀγαλλιάσομαι ἐν σοὶ ψαλῶ
” τῷ ὀνόματί σου ὕψιστε:

Ταῦτα ὁ σύμμαχος οὕτως ἡρμήνευ-
σεν ᾄσω τῷ ὀνόματί σου ὕψιστε ἀ-
ναστραφέντων τῶν ἐχθρῶν μου ὀπί-
σω καὶ προσκοψάντων, καὶ ἀπολου-
μένων ἐκ προσώπου σου· θεασάμενοι
γὰρ τοὺς δυσμενεῖς καταλυθέντας
ὑμνῶ σε οὐχ ὡς τινὲς δέ φασι ἐκ
προσώπου τοῦ σωτῆρος εἴρηται ὁ

ψαλμός

ψαλμὸς ἀλλὰ μᾶλλον πρὸς αὐτὸν
ὑπὸ τῶν εὐπεπονθότων:

" Ἐκάθησας ἐπὶ θρόνου ὁ κρίνων δι-
" καιοσύνην ἐπετίμησας ἔθνεσι καὶ
" ἀπώλετο ὁ ἀσεβὴς τὸ ὄνομα αὐτοῦ
" ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς
" τὸν αἰῶνα τοῦ αἰῶνος:

Οὐκ ἦν ἔσχον φησὶν ἐπὶ πλεῖον περι-
ιδεῖν τῶν ἀνθρώπων τὴν φύσιν
τυράννῳ δηλουμένην ἀλλ' οἷα τὶς
δικαστὰς ἐπὶ θρόνου καθίσας ἐπε-
τίμησας ἔθνεσι ἀντὶ τοῦ ἀπε-
στρέψαι αὐτὰ ἐκ τῆς πλάνης αὐ-
τῶν διὰ τῶν σε κηρυξάντων, ἀπώ-
λετο δὲ ἀσεβὴς διάβολος τοὺς

τοὺς.

τοὺς πειθομένους οὐκ ἔχων:

" Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι
" εἰς τέλος καὶ πόλεις καθεῖλες:

Ἐγυμνώθη τῶν οἰκείων ὅπλων οὐκ
ἔχων τῆς ἀσεβείας τοὺς ὑπουργούς
καὶ αἱ πόλεις δὲ τῆς ἐν αὐταῖς
πάλαι πολιτευομένης ἀσεβείας
καταλυθείσης τῆς εὐσεβείας τὴν
οἰκονομίαν ἐδέξατο:

" Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν με=
" τ' ἤχου:

Ἔκδηλος αὐτοῦ γέγονεν φησὶν ἡ ἀπώλεια
τὸ γὰρ μετ' ἤχου σημαίνει ἐκ μετα=
φορᾶς τῶν ἀποτόμῳ σεισμῷ
συμπιπτουσῶν οἰκιῶν καὶ πολὺ
κτύπον ἐργαζομένων:

νυν

ἐργαζομένων.

" Καὶ ὁ κ(ύριο)ς εἰς τὸν αἰῶνα μένει ἡτοίμα-
" σεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ
" καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην
" ἐν δικαιοσύνῃ κρινεῖ λαοὺς ἐν
" εὐθύτητι.

Ὁ ἡμέτερος δεσπότης αἰώνιον ἔχει τὸ κράτος οὐ γὰρ κατὰ τὸν παρόντα βίον μόνον τὴν οἰκείαν ἔδειξε δύναμιν ἀλλὰ καὶ τῷ μέλλοντι τὸ φρικῶδες αὐτοῦ δείξει κριτήριον.

" Καὶ ἐγένετο καταφυγὴ τῷ πένητι βο-
" ηθὸς ἐν εὐκαιρίαις ἐν θλίψεσι. ·φρικωδὸ·

Τὸ ἐν εὐκαιρίαις ἐν θλίψεσι ἀκούεται

αι

ἀκύλας εἰς καιρὸν σύμμαχος δὲ ἐπὶ καιρὸν ἠρμήνευσε. διδάσκει δὲ ὁ λόγος ὡς ἐν προσφόρῳ καιρῷ τὴν ἡμετέραν ἐπραγματεύσατο σωτηρίαν. πένητα γὰρ τῶν ἀνθρώπων τὴν φύσιν ἀποκαλεῖ διὰ πολλὴν τὴς παρανομίας πτωχίαν.

" Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε κε:

Ἀκύλας καὶ σύμμαχος πεποιθήσουσιν ἡρμήνευσαν. ταύτης γάρ φησι τῆς σωτηρίας παρὰ σοῦ γινομένης οἱ ποιμένες σε καὶ θεὸν μεμαθηκότες εἰς σὲ ἕξουσι τὰς ἐλπίδας:—

ε. ἑρμηνεύτ.

ἐχθρὸς:

" Ψάλατε τῷ κυρίῳ τῷ κατοικοῦντι ἐν

" σιών

Κατὰ τὴν πάλαι τῶν ἰουδαίων δόξαν

τοῦτο φησὶν ὁ προφήτης μεμαθή=

καμεν δὲ καὶ ἐκ τῶν ἀποστόλων

καὶ ἐπουράνιον σιὼν εἶναι προσε=

ληλύθατε γὰρ φησὶ σιὼν ὄρει καὶ

ἱερουσαλὴμ ἐπουρανίῳ:

" Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύ=

" ματα αὐτῶν:

Τὰ ἐπιτηδεύματα ὁ μὲν σύμμαχος

μηχανὰς ὁ δ᾽ ἀκύλας ἐναλαγὰς

τῷ ὄντι γὰρ μεγάλων πραγμάτων

ἐγένετο ἐναλαγὴ οἱ ἐχθροὶ φίλοι

οἱ μακρὰ ἐγγὺς οἱ υἱοὶ κύνες καὶ

κη

καὶ οἱ κτύποι γόοι. καὶ αἱ μηχαναὶ θε-
οπρεπεῖς διὰ θανάτου ζωὴ διὰ
ἀτιμίας τιμή:

" Ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν
" ἐμνήσθη οὐκ ἐπελάθετο τῆς
" κραυγῆς τῶν πενήτων:

Ὁ πάντα συνεφορῶν, καὶ ἀκριβῶς
ἐκζητῶν τὰ γινόμενα ἰδὼν τὰς
τολμωμένας ὑπὸ τοῦ διαβόλου
διὰ ἀπάτης τῶν ἀνθρώπων σφα-
γὰς εἰς ἐπικουρίαν ἐλυπήθη -
κραυγὴ δὲ ἐνταῦθα οὐ τὴν δέ-
ησιν φησίν. ἀλλὰ τὴν διὰ τὴν ἁμαρ-
τίαν ἐπεισελθοῦσαν ταλαιπωρίαν.
δι' ἣν καὶ θάνατοι ἄωροι καὶ θρῆ-
νοι καὶ συμφοραί.

συμφοράς

» ἐλέησόν με κε̅ ἴδε τὴν ταπείνω-
» σίν μου ἐκ τῶν ἐχθρῶν μου ὁ
» ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου:

Τοιαύτη τις ἐστὶν ἡ διὰ τῶν ὀλοφυρ-
σεων γινομένη κραυγή οἷον
τινὰ δήπου ἔχουσα περὶ τῶν
κατεχόντων δεινῶν τὸ δὲ τέλος
τῶν ἀγαθῶν ἐστὶν ἡ τῆς φθορᾶς
ἀπαλλαγὴ καὶ θανάτου κατάλυσις·
ἧς ἀπολαύσαντες ἀεὶ σοῦ τὰς
εὐεργεσίας ὑμνήσωμεν:-

» Ὅπως ἐξαγγείλω πάσας τὰς αἰνέσ-
» εις σου ἐν ταῖς πύλαις τῆς θυγα-
» τρὸς σιὼν ἀγαλλιασώμεθα ἐπὶ

τῷ

” τῷ σωτηρίῳ σου ἐνεπάγησαν ἔθνη

” ἐν διαφθορᾷ ᾗ ἐποίησαν:

Σιὼν καλεῖ τὴν ἐπουράνιον πόλιν
πύλας δὲ αὐτῆς τὰς πανταχοῦ τῆς
ἐκκλησίας δι' ὧν εἰς ἐκείνην εἰ-
σιόντες οἱ πιστοὶ χαίρουσι τῇ ἐλ-
πίδι τῆς ἀναστάσεως

” Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συν-
” νελήφθη ὁ ποὺς αὐτῶν γινώσκε-
” ται κς κρίματα ποιῶν ἐν τοῖς
” ἔργοις τῶν χειρῶν αὐτοῦ συνε-
” λήφθη ὁ ἁμαρτωλός:

Ἔθνη τοὺς δαίμονας φησίν· οὗτοι γὰρ
τὸ σωτήριον τεκτηνάμενοι σταυρὸν
δι' αὐτοῦ τῆς τυραννίδος ἐξέπεσον.

σον

ἐξέπεσον ἦτα ἀπιστήσαντα τῶν
ἐθνῶν ἀνθῶν γάρ τοὺς ἀποστό=
λους καὶ μάρτυρας ἔθωνάσθ
ἐβαρβεύθη τὸ κήρυγμα, καὶ ἔγνώ
σθη τί σοφῶς καὶ δικαίως οἰκονο
μῶν:–
" Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν
" ᾅδην πάντα τὰ ἔθνη τὰ ἐπιλαν=
" θανόμενα τοῦ θεοῦ ὅτι οὐκ εἰς τέλος
" ἐπιλησθήσεται ὁ πτωχός ἡ ὑπομο=
" νὴ τῶν πενήτων οὐκ ἀπολεῖται
" εἰς τέλος.
Οἱ τῷ θείῳ διαπιστήσαντες κηρύγμα=
τι φησὶ τὸν ᾅδην ἔτι τάχιστα κατα=
λήψονται οὐδὲ τὴν τυχοῦσαν βλά=
βην τοῖς ὑπ' αὐτῶν διωκομένοις ἐ:

ἐπαΐοντες· ἡ ὑπομονὴ γὰρ τῶν
πενήτων οὐκ ἀπολεῖται. ἐστὶν ὁ
ὑπομείνας εἰς τέλος οὗτος σω=
θήσεται, εἰ τὰ προέφωθεν ὡς προ=
φήτης θεασάμενος λεηλατουμέν-
ους ὑπὸ τῶν δυσσεβῶν τοὺς τῇ
εὐσεβείᾳ κηρεύκας ἀλλαχοῦ λέγει.
» Ἀνάστηθι κύριε μὴ κραταιούσθω ἄνθρωπος
» κριθήτωσαν ἔθνη ἐνώπιόν σου
» κατάστησον κύριε νομοθέτην ἐπ' αὐ=
» τοὺς γνώτωσαν ἔθνη ὅτι ἄνθρωποι
» εἰσίν.
Εἰ μετὰ Μωσέα οὔτε Ἰουδαῖοι οὔτε
ἔθνη ἔσχον ἕτερον ἄνθρωπον νομοθέτην
λείπεται νοεῖν τὸν κύριον νομοθέτην
ἐθνῶν, οὗ τὴν νομοθεσίαν παρα=
σχεθῶν

παρασχεθῆναι τοῖς ἔθνεσιν ὁ προ-
φήτης ἀντιβολῶν ἵνα τὸν θνειώ-
δη καταλιπούσης βίον γνῶσιν
<u>ἐπὶ ἀνθρώποις εἰσίν</u>:

„ Ἵνα τί Κύριε ἀφέστηκας μακρόθεν
„ ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλί-
„ ψεσιν ἐν τῷ ὑπερηφανεύεσθαι τὸν
„ ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός
„ συλλαμβάνονται ἐν διαβουλίοις
„ οἷς διαλογίζονται ὅτι ἐπαινεῖται
„ ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις
„ τῆς ψυχῆς αὐτοῦ καὶ ὁ ἀδικῶν
„ ἐνευλογεῖται:

Δοκεῖς πόρρωθεν ἑστάναι δέσποτα
καὶ μὴ ὁρᾶν τὰ ἀνθρώπινα· τοῖς

τοῖς ἀδικουμένοις οὐκ ἐπαμύνων
ὑπὸ δὲ τῆς ἀθυμίας ὥσπερ ὑπό-
τινος πυρὸς οἱ ἀδικούμενοι κατα-
τήκονται τῶν ἀδικούντων τὴν ἀλα-
ζονίαν θεώμενοι πρὸς φυσᾶς δὲ-
φησὶ τὸ ἐμπνείζοντας, ἐμπιπραμ-
μένοις γὰρ οἱ ἀθυμοῦντες ἐοίκα-
σιν οἷον τινὰ καπνὸν τὸν στεναγμὸν
ἐκπέμποντες βλάβη δὲ αὐτοῖς ἀ-
γ. σεται — πὸ τῆς ἀθυμίας γενήσεται περὶ
τῆς σῆς οἰκονομίας προνοίας τοῦ-
το γὰρ ἐπὶ τὸ συλλαμβάνοντας ἐν
διαβουλίοις καὶ τὴν αἰτίαν δηλῶν
ἐπάγει. ἐπὶ ἐπαινεῖται ὁ ἁμαρτωλὸς
μυρία γὰρ παράνομα δρῶντες
καὶ παρὰ κολάκων ἐπαινοῦνται:

νοῦνται

ἐπαινοῦνται

" παρώξυνε τὸν κύριον ὁ ἁμαρτωλὸς
" κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ
" οὐκ ἐκζητήσει οὐκ ἔστιν ὁ θεὸς
" ἐνώπιον αὐτοῦ βεβηλοῦνται
" αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ:

Κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ. ἐν ταὐτῷ ὑποδεικτέον. ἐκζητήσει, ἀντὶ τοῦ παροξύνων τὸν κύριον, λέγων οὐκ ἐκζητήσει, μανίᾳ γὰρ καὶ λύπῃ χρώμενος. ὡς οὐδενὸς ἐφορῶντος. εἰς πᾶσαν ἄτην καὶ παρανομίαν. ἵνα τοῦτο σαφέστερον λέγει οὐκ ἔστιν ὁ θεὸς ἐνώπιον αὐτοῦ καὶ τί δὴ τοῦτο τὸ·

τὸ αἴτιον βεβηλοῦνται αἱ ὁδοὶ
αὐτοῦ ἅπαντα καιρὸν εἰς παρα
νομίαν δαπανᾷ.
" Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ
" προσώπου αὐτοῦ πάντων τῶν
" ἐχθρῶν αὐτοῦ κατακυριεύσει.
Παντελῶς τὸν σὸν νόμον καταφρο-
νεῖ. ἀλλόμενος καὶ τοιαῦτα δρῶν
κατευοδοῦται, εἶτα τοῦ τύφου τὴν
ὑπερβολὴν ζωγραφεῖ. εἶπε γὰρ
ἐν καρδίᾳ αὐτοῦ.
" Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐ μὴ
" σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενε-
" ὰν ἄνευ κακοῦ. οὗ ἀρᾶς τὸ στόμα
" αὐτοῦ γέμει καὶ πικρίας καὶ
δόλου

" δόλου ὑπὸ τὴν γλῶσσαν αὐτοῦ
" κόπος καὶ πόνος ἐγκάθηται
" ἐνέδρα μετὰ πλουσίων ἐν
" ἀποκρύφοις τοῦ ἀποκτεῖναι
" ἀθῶον:

Σαφέστερον τοῦτο ὁ σύμμαχος
ἡρμένη οὐ περιτραπήσομαι εἰς
γενεὰν οὔτε ἔσομαι ἐν κακώσει
καὶ ταύτῃ κέχρηται τῇ θρασύτη=
τι καὶ ἤπειται μηδὲν δεινὸν
ὑποστήσεσθαι πάντα μεστὸν τῆς
κακίας τὰ εἴδη διαχεῖ γὰρ
ῥάπτει καὶ θρύπτει κακὰ καὶ
βίον ἔχει τὰς κατὰ τῶν πενή=
των ἐπιβουλὰς καὶ ἐν συλλό
γοις

συλλόγοις δὲ καὶ ἐν συνεδρίοις
καθήμενος ἐνέδρας τινὰς καὶ
μηχανὰς τοῖς ἀναιτίοις κατασ=
κευάζει:
„ Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν αἰῶνα
„ ἀποβλέπουσι ἐνεδρεύειν ἐν ἀπο=
„ κρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ
„ αὐτοῦ ἐνεδρεύει τοῦ ἁρπάσαι
„ πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτὸν
„ ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει
„ αὐτὸν κύψει καὶ πεσεῖται ἐν τῷ
„ αὐτὸν κατακυριεῦσαι τῶν πε=
„ νήτων:

Καθάπερ ὁ λέων καταφρονεῖ τὸ ὄμ
μα τῇδε κἀκεῖσε θήραν ἐπὶ τῇ
τῶν

ἐπιζητῶν οὕτως νύκτωρ καὶ μεθη-
μέραν ἁρπαγῆς καὶ πλεονεξίας
ἐπινοεῖν μηχανὰς ἀλλόμως κού-
φη καὶ πεσοῦσαι ὅταν γὰρ πάντων
περιγένηται ἥκιστα τὸ στόμα δια-
φεύξεται τοῦ θανάτου:
" Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ ἐπιλέ-
" λησται ὁ θεὸς ἀπέστρεψε τὸ πρό-
" σωπον αὐτοῦ τοῦ μὴ βλέπειν
" εἰς τέλος
Οὐδὲν αὐτὸν ὀνειδίζει τὰ ἀσεβῆ ῥήμα-
τα καὶ οἱ ἀθεώτατοι λογισμοὶ ἀλλ' ἐκ
τῶν πραγμάτων γνώσεται ὡς
ἔφορα δὲ τὰ ἀνθρώπινα ἐκ τού-
των ἀνιαθεὶς τῶν ῥημάτων πάλιν

εὔχεται·

" Ανάστηθι κε ὁ θς μου ὑψωθήτω
" ἡ χείρ σου μὴ ἐπιλάθῃ τῶν πε=
" νήτων σου εἰς τέλος. ἕνεκεν τί=
" νος παρώργισεν ὁ ἀσεβὴς τὸν
" θν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ
" οὐκ ἐκζητήσει. βλέπεις ὅτι σὺ πό=
" νον καὶ θυμὸν κατανοεῖς τοῦ
" παραδοῦναι αὐτὸν εἰς χεῖράς σου
" σοὶ ἐγκαταλέλειπται ὁ πτωχός
" ὀρφανῷ σὺ ἦσθα βοηθός σύν=
" τριψον τὸν βραχίονα αὐτοῦ ἁμαρ=
" τωλοῦ καὶ πονηροῦ ζητηθήσεται
" ἡ ἁμαρτία αὐτοῦ καὶ οὐ μὴ
" εὑρεθῇ

ιζ; ἀρεσθῆ

Ἐπεὶ οἱ εὐσεβεία συζῶντες δι' ὧν πρά-
ττουσι χείρους ὧν ὡς ἐπιλελῆσθαι θεὸν
ἐδίδαξαν αὐτοὺς διὰ πείρας ὅτι
οὐκ ἐπιλέλησται. ἀλλὰ τῶν ἀδι-
κουμένων κηδεμονίαν ποιεῖ·
καὶ σφοδροτέρως ἀχθεσθεὶς ταῖς
ἐκείνων βλασφημίαις ἐπιτάξειν
ἕνεκεν τινός, ἀλλὰ κἂν μυριά-
κις ἐκεῖνος ταῦτα λογίσηται σὺ
βλέπεις, οὕτω νοητέον ὅτι σὺ πό-
νον καὶ θυμὸν κατανοεῖς οὕτω
γὰρ καὶ ὁ σύμμαχος διέστειλεν.
ὁρᾷς ὅτι σὺ μόχθον, καὶ παροργισμὸν ἐπιβλέπεις καὶ ὁ ἀκύλας.
εἶδες ὅτι σὺ πόνον καὶ παροργισμόν

ἐπιβλέπεις· κἂν μυριάκις φησὶν
εἴπωσιν οἱ δυσσεβείᾳ συζῶντες
ὅτι οὐκ ἐπιβλέπεις τὰ ἀνθρώπινα
ἡμεῖς ἴσμεν ὅτι βλέπεις καὶ ἐποπ-
τεύεις τὰς τούτων παρανομίας καὶ
τὴν ἀξίαν αὐτῶν εἰσπράττεις ποι-
νήν· σοὶ γὰρ ἐγκαταλέλειπται διὰ
τοῦτο σὲ ἱκετεύομεν σύντρι-
ψον τὸν βραχίονα. ἔσται δὲ τοῦ-
το ἐὰν μόνον τὴν ἁμαρτίαν
αὐτοῦ ζητῆσαι θελήσῃς, εἰ γὰρ
τοῦτο γένηται παραυτίκα ἄφαν-
δος ἔσται καὶ πανωλεθρίᾳ παρα-
δοθήσεται. τοῦτο γὰρ ἐδήλωσεν
εἰρηκὼς ζητηθήσεται ἡ ἁμαρτία
αὐτοῦ

αὐτοῦ καὶ οὐ μὴ εὑρεθῇ καὶ τοῦ
τὸ σαφέστερον ὁ σύμμαχος εἴ-
ρηκεν ἐκλιπηθήσεται ἡ ἀσέβει-
α αὕτη ἵνα μὴ εὑρεθῇ αὐτός,
ἐκ πίνης γὰρ δικαιουμένης οὕτως
ἀπόλυται,
Κε βασιλεὺς εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος ἀπολεῖσθε ἔθνη ἐκ
τῆς γῆς αὐτοῦ τὴν ἐπιθυμίαν
τῶν πενήτων εἰσήκουσας κε.
Ἐπειδὴ οἱ δυσσεβεῖς ἔλεγον οὐ ζητεῖ
οὐδὲ βλέπει εἰκότως ὁ προφη-
τικὸς λόγος φησίν· ὅτι βασιλεὺς
εἶ καὶ οὐχ ἁπλῶς ἀλλ' εἰς τὸν
αἰῶνα τοῦ αἰῶνος ἔδει μὲν δὲ βα-
σιλέως προμηθεῖσθαι τῶν ἀρχο-
μένων

ἔθνη δὲ καλεῖ τὰ παρανομήμα-
συζοῦτα ἀπὸ τὰ τὸ σωτήριον μὴ
δεξάμενα κήρυγμα·

” Τὴν ἑτοιμασίαν τῆς καρδίας αὐ-
” τῶν προσέσχεν τὸ οὖς σου κρῖ-
” ναι ὀρφανῷ καὶ ταπεινῷ ἵνα μὴ
” προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν
” ἄνθρωπος ἐπὶ τῆς γῆς:

Τὴν ἑτοιμασίαν ὅστε τὴν πρόθε-
σιν εἴρηκεν. οἶδας γάρ φησι τὰ
κριβῶς ὅσα ἔχουσιν ἐπιθυμίαν
οἱ πένητες, καὶ ποίαν πρόθεσιν.
εἶτα διδάσκει ταύτην σαφέστε-
ρον κρῖναι ὀρφανῷ τοῦτο φησὶν
ἐκδικεῖν τὰ τῶν ἀδικουμένων ἕκα-
στον ἵνα μὴ προσθῇ ἔτι τοῦ με
γαλαυχεῖν

μεγαλαυχεῖν, τῶν γὰρ ἀσεβείᾳ †
καὶ παρανομίᾳ* χρωμένων, πο-
λαζομένων, ὄφελος ἔσται μέγιστον
τῶν ἄλλων ἀνθρώπων εἰς τούτους
ἀφορώντων. καὶ δρῶντα ὅμοια μὴ
τολμώντων. ταῦτα δὲ οὐχ ἁπλῶς ὁ
προφήτης τὸν προκείμενον στί-
χον ψαλμοῦ, ἀλλὰ πρῶτον μὲν
δεῖξαι βουλόμενος, ὅπως διέκει-
το τὸ πάλαι τῶν ἀνθρώπων ἡ
φύσις, καὶ ἐστὶν ὁ μονογενὴς τοῦ
θεοῦ λόγος εἰς καιρὸν ἐνανθρωπή-
σας κατάλληλα τοῖς τραύμασιν
ἐπέθηκε φάρμακα πρὸς δὲ ταῖς
τούτοις διδάσκει, ὡς τοὺς ὁπηοῦν

οὐδὲ μίαν ἐκ τῆς εὐεργεσίας δέ-
ξασθαι. εὐθέντας, μείζοσι παρα-
δώσει κολαστηρίοις ὁ τῶν ὅλων
θεὸς ἐν τῇ τῆς δευτέρας ἐπιφανείας
ἡμέρᾳ:

" Εἰς τὸ τέλος ψαλμὸς τῷ δαδ, ι,

Τοῦτον τὸν ψαλμὸν ὑπὸ τοῦ σαοὺλ
διωκόμενος ὁ θεῖος δαδ εἴρηκεν
πρὸς τοὺς παραινοῦντας αὐτῷ φυ-
γῇ τὴν σωτηρίαν ποιήσασθαι
ἁρμόττει δὲ παντοίων ἀδικου-
μένων καὶ τὴν εἰς θεὸν ἐλπίδα
κεκτημένων. εἰς τὸ τέλος δὲ ἐπι-
γέγραπται. ἅτε δὴ πρόῤῥησιν
περιέχων τῆς δικαίας τοῦ θεοῦ
κρίσεως καὶ τοῖς ἐπενεχθησο-
μένης

γ. παντὶ ἀδικουμέ-
νῳ καὶ τὴν εἰς θεὸν
ἐλπίδα κεκτημένῳ.

ἐπενεχθησομένης τοῖς παρανόμοις
κολάσεως
,, Ἐπὶ τῷ κῷ πέποιθα· πῶς ἐρεῖτε
,, τῇ ψυχῇ μου· μεταναστεύου ἐπὶ
,, τὰ ὄρη ὡς στρουθίον
Τί δή ποτέ μοι φησὶ παραινεῖτε φεύ=
γειν καὶ τὰ ὄρη πτεινος τὴν βεβαί=
αν ἔχοντι τὴν εἰς θὸν ἐλπίδα,
καὶ δι᾽ ἐκείνην τοὺς δυσμενεῖς
μὴ δειμαίνοντι:
,, Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τό=
,, ξον ἡτοίμασαν βέλη εἰς φαρέτραν
,, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ
,, τοὺς εὐθεῖς τῇ καρδίᾳ:
Ἐντεῦθεν διδασκόμεθα ὡς πρὸς
τὸν θν ἔστρεψε τοὺς λόγους ὁ
προφήτης ἐν τάξει χρώμενος καὶ

καὶ διδάσκων· ὡς ἀντὶ τῶν πο-
λεμίων τὰ βέλη καὶ σκοποὺς αὐτοὺς
οἵους ἐναργεστέρως ἐπείκη τοῖς λόγοις
χειρώσασθαι· τὸ γὰρ τῆς ἐπιβουλῆς
λαθραῖον σκοτομήνην ἐκάλεσεν, εὐ-
θεῖς γὰρ τὴν καρδίαν λέγει οὐ τὴν
ἄκραν ἀρετὴν ἑαυτῷ μαρτυρεῖ
ἀλλὰ ἁπλῶς ὅτι πρὸς βλάβην τοῦ
Σαοὺλ οὐδὲν εἰργάσατο πώποτε
» ὅτι ἃ σὺ κατηρτίσω αὐτοὶ καθεῖ-
» λον
Οὐχ ἥρπασα φησὶ τὴν βασιλείαν
ἀλλὰ σοῦ χειροτονήσαντός με αὐ-
τὴν καθελεῖν σπουδάζουσιν.
» Ὁ δὲ δίκαιος τί ἐποίησεν; κ͞ς ἐν ναῷ
» ἁγίῳ αὐτοῦ κ͞ς ἐν οὐρανῷ ὁ θρό-
» νος αὐτοῦ οἱ ὀφθαλμοὶ αὐτοῦ
αὐτοῦ

" αὐτοῦ εἰς τὴν πέμπτα ἐπιβλέπουσιν
" τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς
" υἱοὺς τῶν ἀνων̄ κύ ἐξετάζει τὸν
" δίκαιον, καὶ τὸν ἀσεβῆ.

Ἐκεῖνοι μὲν οὖν τῇ κατ' ἐμοῦ κέχρη=
ται πομπείᾳ· οὐδὲ ὁ δίκαι=
ος κριτὴς ἐγκαθήμενος τοῖς οὐρα
νίοις θεολόχοις, καὶ τὴν θείαν, ἐ= f. θώκοις
πιφάνειαν ἐν τῷ ναῷ τῷ ἐπὶ γῆς
ποιούμενος ἐποπτάζει μὲν πᾶ-
σαν τὴν οἰκουμένην ἀρκεῖ δὲ
σοῦ μόνα τῶν ὀμμάτων τὰ
βλέφαρα τὰ ἀνθρώπινα πάντα
καταμαθεῖν οἶσθα δὲ ἀκριβῶς
καὶ τῶν δικαίων καὶ ἀδίκων τὰς
πράξεις ἴστον δὲ ὅτι τὰς τοῦ θῦ

ἐνεργείας διὰ σωματικῶν μορίων
παρίστησιν:

» Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν
» ἑαυτοῦ ψυχὴν ἐπιβρέξει ἐπὶ ἁμαρ-
» τωλοὺς παγίδα·

Ὀλέθριον μηχανᾶται ὁ ἄδικος τῇ ἑαυ-
τοῦ ψυχῇ ἐπισπᾶται γὰρ τὴν
θείαν ὀργήν.

» πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος

Ἀπὸ τὰ ἤδη περὶ τὰ σόδομα γενο-
μένων σχηματίζει τὰς τιμωρίας
οὐχ ὡς πάντως ταῦτα ἐπάγων
ἀλλὰ διὰ τοῦτο τὰς παντοδαπὰς
κολάσεις παραδηλῶν:

» ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.

Ταῦτα φησὶν ἑαυτοῖς ἀπεπλήρωσαν

ρωσαν

ἀπεπλήρωσαν τὴν παρανομίαν αὐ-
τῶν ἐχόμενοι ποτήριον δὲ ἐνταῦ-
θα τὴν τιμωρίαν ὀνομάζει:
» Ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγά-
» πησεν, εὐθύτητας εἶδεν τὸ πρόσω-
» πον αὐτοῦ
Ταῦτα φησὶν ἐπιφέρει τοῖς κακίας συ-
ζῶσι ὁ τῶν ὅλων Κύριος ἐπειδὴ δι-
καιοσύνης ὑπάρχει πηγὴ καὶ οἷ-
ον τινὶ πηδαλίῳ τῇ εὐθύτητι ἰθύνε-
ι τὰ σύμπαντα:
» Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης ψαλ-
» μὸς τῷ Δαυίδ, ια',
Τῆς αὐτῆς ἔχεται καὶ οὗτος ὁ ψαλ-
μὸς διανοίας διαβάλλει γὰρ τοὺς
διπλόῃ κεχρημένους καὶ φιλίαν.

μὲν ὑποχουμένων προϊεμένους
δὲ αὐτοῦ τῷ πολεμίῳ Σαοὺλ ὑπὲρ
δὲ τῆς ᾠδῆς τῷ ἐπιγραφίῳ ἔχει
ἅτε δὴ τῆς δικαίας κρίσεως τοῦ
θεοῦ μεμνημένος διὰ τοῦτο, καὶ ἐπὶ
τὸ τέλος προσγέγραπται ὡς χρόνοις
ὕστερον τῆς προφητήσεως ἐσομέ-
νης:

" Σῶσόν με κύριε ὅτι ἐκλέλοιπεν ὅσιος
" ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ
" τῶν υἱῶν τῶν ἀνθρώπων:

Τῆς παρ᾽ ἑαυτοῦ δέσποτα σωτηρίας ἀ-
πολαῦσαι παρακαλῶ ἐπειδὴ κιν-
δυνεύει τῆς ἀληθείας ἀποσβῆναι
τὸ χρῆμα πάντων ὡς ἔπος εἰ-
πεῖν τῷ πρὸς ἀλλήλους ἀπιστίαν

σίαν

ἀπιστίαν νενοσηκότων·

„ Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν
„ πλησίον αὐτοῦ.

Ἀποκρίνονται φιλίαν κατὰ τῶν πο-
λεμίων ἐργάζονται·

„ Χείλη δόλια ἐν καρδίᾳ καὶ ἐν καρ-
„ δίᾳ ἐλάλησε κακά·

Μετὰ δόλου φησὶν ἀλλήλοις προσδια-
λέγονται καὶ οὗτος τοῖς χείλεσι
χρώμενος εἰς τὴν τοῦ πέλας καρ-
δίαν τὰ ψευδῆ παραπέμπει κα-
κεῖνος πάλιν ὁμοίως ἀντιπέμπει
τὰ ὅμοια·

„ Ἐξολοθρεύσει κύριε πάντα τὰ χείλη
„ τὰ δόλια, γλῶσσαν μεγαλορρήμο-
„ να τοὺς εἰπόντας τὴν γλῶσσαν

ἡμῶν

" ἡμῶν μεγαλυνοῦμεν:

Ἐν τοῦθεν λοιπὸν αὐτοῖς ἀπειλεῖ τιμωρίαν· ἐξολοθρεύσοι, τότε ἐπὶ τῆς μεγαλοσύνης τὸ εἶδος τοὺς εἰπόντας τὴν γλῶσσαν.

" Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστιν· τίς
" ἡμῶν κύ ἐστιν.

Οὐκ ἀνέχονται φησὶ μετελθεῖν τῇ φύσει τοὺς λόγους οὐδὲ εἰς τοὺς θείους ἀποβλέπειν ἐθέλουσι νόμους. ἀλλὰ ἀθυρῶ τοῖς στόμασιν ὅπερ βούλονται φθέγγονται. τῆς θείας μακροθυμίας καταφρονοῦντες καὶ μὴ τε: ὑπὸ τὸν τοῦ θεοῦ δεσποτείαν νομίζοντες. γίνωσκων δὲ ὁ προφητικὸς λόγος ὅτι τὰ ἄξια οὗτοι τίσουσι δίκαι, ἐπιφέρει:

f. καὶ τῶν ὑπο τεθεν

ἐπήγαγεν·

» Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτω=
» χῶν καὶ τοὺς στεναγμοὺς τῶν πε=
» νήτων νῦν ἀναστήσομαι λέγει κς
» θήσομαι ἐν σωτηρίῳ παρρησιάσο=
» μαι ἐν αὐτῷ τὰ λόγια κυρίου λόγια
» ἁγνὰ ἀργύριον πεπυρωμένον δο=
» κίμιον τῇ γῇ·

Ἕνεκεν τῆς ταλαιπωρίας οὐ περιόψο=
μαι αὐτοὺς ὀλοφυρομένους καὶ
στένοντας διὰ τὴν ~~εἰς τοὺς πολέ=
μους~~ εἰς αὐτοὺς τετολμημένην
παρανομίαν ἀλλ' ὥς ὕπνον τὴν
μακροθυμίαν ἀποσεισάμενος
περιφανῆ τὴν σωτηρίαν ποιήσο=
μαι οὕτω μὲν καὶ ὁ σύμμαχος ἑρ=
μήνευσε· τάξω σωτήριον ἐμφανῶς,

καὶ

καὶ διδάσκομεν ὡς ἀληθῶς ἔσται τὰ
εἰρημένα προστεθῆναι τὰ λόγια
κῦ ἐπ' αὐτὴ τοῦ πολλαπλασίως.

» Κεκαθαρισμένον ἑπταπλασίως
» σὺ κέ φυλάξεις ἡμᾶς, καὶ διατη=
» ρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύ=
» της καὶ εἰς τὸν αἰῶνα κύκλῳ οἱ
» ἀσεβεῖς περιπατοῦσι κατὰ τὸ ὕ=
» ψοσου ἐπολυώρησας τοὺς υἱοὺς
» τῶν ἀνθρώπων.

Οἱ μὲν παρανόμως συζῶντες τὴν
θείαν καταλιπόντες ὁδὸν τῇ δὲ
κακίᾳ περιπλανῶνται οἷον τὶ
πολιορκεῖν τοὺς ἐπιχειροῦντας περι=
ερχόμενοι σὺ δὲ ἀπὸ τοῦ τῆς φύ=
σεως ὕψους φαινόμενος τῆς σῆς
ἀξίοις ευδαιμονίας τοὺς ὑπ' ἐκεί

μω

ὑπ' ἐκείνων πολεμουμένους νῦν δὲ
ψυχαγωγῶν ἐν ταῖς θλίψεσι με=
τὰ βραχὺ δὲ τελείαν τὴν σωτηρί=
αν δωρούμενος:

" Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαδ, ιβ.

Καὶ τοῦτον εἰς ἑαυτὸν ἤνεγκεν ὁ
θεῖος μέγας Δαδ οὐ μὴν ὑπὸ τοῦ
σαοὺλ διωκόμενος ἀλλ' ὑπὸ τοῦ
ἀβεσσαλῶμ μετὰ τὴν ἁμαρτίαν
καὶ διὰ τοῦτο κλαθμοὺς καὶ στε=
ναγμοὺς τοῖς λόγοις ἐγκέκραται

" Ἕως πότε κε ἐπιλήσῃ μου εἰς τέλος
" ἕως πότε ἀποστρέψεις τὸ πρόσω=
" πόν σου ἀπ' ἐμοῦ

Τὴν ἀναβολὴν τῆς βοηθείας ἐπιλησ=
μονὴν φησίν, παρακαλεῖ δὲ μὴ

μὴ παντελῶς γυμνωθῶσι τῆς θεί-
ας προνοίας· τὸ δὲ ἀποστρέψεις ἐκ
μεταφορᾶς τῶν ὑπ' ὀργῆς τοὺς
προσκεκρουκότας οὐ θελόντων
ὁρᾶν φησί· διὸ μετ' ὀλίγα ἐπίβλε-
ψον εἰσάκουσόν μου ἀπὸ τῶν
ἀνθρωπίνων πάλιν σχηματίζει
τὸν λόγον:

” Ἕως τίνος θήσομαι βουλὰς ἐν
” ψυχῇ μου ὀδύνας ἐν καρδίᾳ μου
” ἡμέρας, καὶ νυκτός ἕως πότε
” ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ'
” ἐμὲ ἐπίβλεψον εἰσάκουσόν-
” μου κύριε ὁ θεός μου:

Νύκτωρ καὶ μεθ' ἡμέραν τρυχόμε-
νος διατελῶ καὶ τοὺς λογισμοὺς

λογισμοὺς ἀναλίσκων ἄλλοτε μὲν
φιλανθρωπίας ἀπολαύσασθαι
ἐλπίζω ποτὲ δὲ περὶ ταύτης ἀμ-
φιβάλλων ἄλλοτε ὡς ἄπορος ἀπαγορεύω
τὰς χρυσοτέρας ἐλπίδας:
" Φώτισον τοὺς ὀφθαλμούς μου μή-
" ποτε ὑπνώσω εἰς θάνατον
Ὕπνον τὸν ἐν τῇ τῶν πειρασμένων
νυκτὶ ἐπιβαίνοντα φημὶ θάνατον
δὲ τὸν ἐκ λύπης:
" Μήποτε εἴπῃ ὁ ἐχθρός μου ἴσ-
" χυσα πρὸς αὐτὸν οἱ θλίβοντές
" με ἀγαλλιάσονται ἐὰν σαλευθῶ.
Μή με τοῖς δυσμενέσιν ἀποδείξῃς, ἐ-
πίχαρτον πάντων γάρ μοι ἀνιω

ρότερον

τοῦτο.

» ἐγὼ δὲ ἐπὶ τῷ ἐλέεισου ἤλπισα
» ἀγαλλιάσεται ἡ καρδίαμου ἐπὶ
» τῷ ~~θῦ~~ σωτηρίωσου ᾄσω τῷ κῷ
» τῷ εὐεργετήσαντίμε καὶ ψαλῶ τῷ
» ὀνόματι κῦ τοῦ ὑψίστου:

Νῦν μὲν τὰς ἐλπίδας εἰς τὸ ἔλε-
ον ἔχω τῆς σωτηρίας δὲ ἀπολαύ-
σας καὶ τῆς ἀθυμίας ἀπαλλαγή-
σομαι καὶ μετὰ θυμηδίας, ἁπά-
σης τὴν ὑμνωδίαν ποιήσομαι
ἐπειγὰρ καὶ τὸν ἄρρητον οὐκ ἠ-
πίσταμαι φύσιν ἄλλοθεν ἀποχει-
μοι τὸ ὄνομάσου εἰς τὸ προσκυ-
νεῖν:

» Εἰς τὸ τέλος ψαλμὸς τῷ δαδ, ιγ,

Καὶ οὗτος ὁ ψαλμὸς εἰς τὸ τέλος

τέλος

τέλος παραπέμπει ἐπειδὴ τὰ μὲν
προκατορθῶσιν. ἡ δὲ ὑπόθεσις ἐστίν,
αὕτη ἐκστρατεύσας ἐν σενναχηρεὶμ
ἀσσυρίων βασιλεὺς τῆς ἰουδαίας,
καὶ πολλὰς πόλεις ἑλὼν ἀπέσται=
λε καὶ ἐν ἱερουσαλὴμ ῥαψάκην
πρὸς ἐζεκίαν λέγει εἰπαῖς ἐζεκίᾳ
μή σε ἀπατάτω ὁ θεός σου ἐφ' ᾧ σὺ
πέποιθας. ὅτι ἐρύσεται τὴν ἱερουσα=
λὴμ ἐκ χειρός μου ὁ δὲ ἐζεκίας
καταφρονήσας τῆς τῶν λόγων μα=
νίας· τῇ οἰκείᾳ χρώμενος εὐσεβείᾳ
καὶ τὴν θείαν καλέσας ἐπικου=
ρίαν ταύτης ἀπήλαυσεν :.
,, Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι

θε

» δὲ διεφθάρησαν καὶ ἐβδελύχθη=
» σαν ἐν ἐπιτηδεύμασιν οὐκ ἔστι ποιῶν
» χρηστότητα:

Σφόδρα τοῖς τοῦ Σενναχηρεὶμ καὶ τοῦ
Ῥαψάκη συγχρόνοις συμβαίνει
τὸ προοίμιον τοῦ ψαλμοῦ ὑπό-
βαθρα φησὶ καὶ ἡ ῥίζα τῆς ἀ=
σεβείας ἡ τοῦ βίου διαφθορά· εἰς
ἀκολασίαν γὰρ σφᾶς αὐτοὺς καὶ
θηριώδη βίον ἐκδεδωκότες τοῦ
θεοῦ τὴν μνήμην τῆς διανοίας
ἐξεβεβλήκασιν· ἠκολούθησαν γὰρ τῇ
τοῦ ἡγουμένου παραπληξίᾳ καὶ
οἱ ὑπήκοοι :—

» Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς
» υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ
» ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν θεόν. πάν

τες

,, πάντες ἐξέκλιναν ἅμα ἠχρειώ-
,, θησαν· οὐκ ἔστι ποιῶν χρηστότη-
,, τα οὐκ ἔστιν ἕως ἑνός:

Ἐκείνων τοιαῦτα δρώντων· καὶ λεγόν-
των οὐ περιεῖδεν ὁ ἐν ὑψηλοῖς κα-
τοικῶν· ἀλλ᾽ ἐξέτασιν ἀκριβῆ
καὶ αὐτῶν τῶν λογισμῶν ποιησα-
μένων εἶδεν ἅπαντας καταυτὸ
τῇ τοῦ βίου παρανομίᾳ κατεχο-
μένους:

,, Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζό-
,, μενοι τὴν ἀνομίαν οἱ ἐσθίοντες
,, τὸν λαόν μου ἐν βρώσει ἄρτου
,, τὸν κν̄ οὐκ ἐπεκαλέσαντο ἐκεῖ
,, ἐδειλίασαν φόβον οὗ οὐκ ἦν φό-
βος

Οὐκ ἠβουλήθητε φησὶ οἱ κατεσθί-
οντες σκορπίζειν τὸ δέον. μαθήσε-
σθε διὰ τῆς πείρας ὡς οὐκ ἔσται
εὐάλωτος ὁ ἐμὸς λόγος λαὸς
οὐδὲ καθάπερ ἄρτον τινὰ ἐσθι-
όμενον δαπανήσεται αὐτοῦ τῆς
ἐμῆς προθυμίας καταφρονοῦντω-
τες τοῦτο γάρ ἐστι τὸν κν̄ οὐκ
ἐπεκαλέσαντο οὗ δὴ χάριν οἱ
ἀδεῶς φθεγγόμενοι· καὶ μηδένα
δειλιαίνοντες φόβῳ περιπεσοῦ-
σθε μηδενὸς δὲ δεδιττομένου τοῦ-
το γὰρ δηλοῖ τὸ ἐκεῖ ἐδειλίασαν
φόβον τὸ δὲ οὐχὶ γνώσονται κα-
θ' ὑπόκρισιν ἀναγνωστέον:

" Ὅτι ὁ θεὸς ἐν γενεᾷ δικαίων βουλὴν πτωχοῦ κατῃ-

σχύνατε

" καλησχίσατε ὁ δὲ κὶ ~~βουλη~~ ἐλπὶς
" αὐτοῦ ἐστί:

Ταῦτα ποιεῖ ὁ θεὸς διὰ τὴν ἐζεκίου
ἀρετὴν καὶ τὴν ὑπ' ἐκείνου εὐ-
σεβῶς ποιμενομένην γενεὰν
οὗ ὡς εὐτελοῦς ὑμεῖς ἐκωμῳδή-
σατε τὴν εἰς ἐμὲ πεποίθησιν.
ταῦτα δὲ ἐκάλεσε βουλὴν ἀντὶ
τοῦ σκοπὸν ἐκεῖνος δὲ τῆς σω-
τηρίας ὡς ἠλπίσθη ἔτυχεν:

" Τίς δώσει ἐκ σιὼν τὸ σωτήριον
" τοῦ ἰσραήλ

Τοῦτο δηλονότι ἔχει τὴν προφητείαν.
οὐ γὰρ μόνην τὴν ἄρχαδε τὴν γενο-
μένην τοῖς πολιορκηθεῖσι προσαγο-

~~ἐδει~~ ρεύει

σωτηρίαν ἀλλὰ καὶ τὴν ἐκεῖθεν
γενομένην τοῦ σωτῆρος ἡμῶν σω-
τήριον ἐπιφάνειαν.
" Ἐν τῷ ἐπιστρέψαι τὴν αἰχμαλω-
" σίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιά-
" σεται ἰακὼβ καὶ εὐφρανθήσε-
" ται ἰσραήλ:

Ἐπειδὴ δὲ αἱ δέκα φυλαὶ ἠνδρα-
ποδίσθησαν ἐξ… ποδισμέναι καὶ μέν-
τοι καὶ τὰς ἰουδαίας πόλεις συ-
χναὶ ἐπεύχεται κἀκείνους τὴν
ἐλευθερίαν ἀπολαβεῖν τοιγάρ-
τοι γάρ φησὶ μείζων ἔσται ἡ εὐ-
φροσύνη τῷ διπλῆν ἔχουσι τὴν
προσηγορίαν λαοῦ.

§. ἐξηνδραποδισμέναι.

" Εἰς τὸ τέλος ψαλμὸς τῷ δαδ, ι δ,

Ἐπειδὴ, καὶ τοῖς τὴν ἱερουσαλὴμ
οἰκοῦσι προσθέωσι σεν τὴν σω-
τὴν τηρίαν ὁ ~~προδοῦτου~~ ψαλμός,
καὶ τοῖς δορυαλώτοις ἤδη γεγε-
νημένοις προηγόρευσε τὴν ἀνά-
κλησιν. εἰκότως ἐν τῷ δὲ τῷ
ψαλμῷ, παραίνεσιν εἰς φιλοκλη-
καὶ ὑποτίθεται βίον καθ' ὃν
προσήκει τῷ πολιτεύεσθαι τοὺς
γοῦς τοῦ τεταγμένων καὶ τὸ θαυμ-
ασμὸς ἀπολαύονται, καὶ σχημα-
τίζει τὸν λόγον εἰς ἐρώτησιν
καὶ ἀπόκρισιν:·

" Κε τίς παροικήσει ἐν τῷ σκηνώ-
" ματί σου ἢ τίς κατασκηνώσει

›› ἐν ὄρει ἁγίῳ σου

Τίς ἄξιος δηλονότι τῷ σῷ ναῷ προσ-
εδρεύειν καὶ ἐν τῇ πόλει βιο-
τεύειν ὅτι σκήνωμα γὰρ τοῦ
θεοῦ ναόν φησιν ὄρος δὲ τὴν ἱερου-
σαλήμ.

›› Πορευόμενος ἄμωμος καὶ ἐργαζό-
›› μενος δικαιοσύνην λαλῶν ἀλή-
›› θειαν ἐν καρδίᾳ αὐτοῦ ὃς οὐκ
›› ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ οὐδὲ
›› ἐποίησεν τῷ πλησίον αὐτοῦ κακόν.

Ἀπόκρισις, δεῖ φησὶ τὸν τοιοῦτον ἀπη-
λλάχθαι κακίας πᾶσαν δὲ ἀρε-
τὴν ἐπιμελῶς μετιέναι δικαιο-
σύνην γὰρ τὴν τελείαν ἀρετὴν
ἐνταῦθα φησὶν ἀμέλει ταύτης

ταύτης διέξεισι τὰ εἴδη [illegible] τοὺς αὐ= Conceptus

τὸν ψεύδους ἀλήθειαν ἔχειν

πρὸς τὴν γλῶτταν καὶ τὴν διάνοι=

αν δόλου καὶ διπλῶν παντελῶς

ἀλλάχθαι, ἀκολούθως γὰρ καρδία

πρῶτον φησὶν, εἶτα γλῶσσα καὶ πρά=

ξις. ἔργον γὰρ ἡ τοῦ λόγος. λόγου

δὲ [illegible]

" Καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ

" τοὺς ἔγγιστα αὐτῶν ἐξουδένωται

" ἐνώπιον αὐτοῦ πονηρευόμενος

" τοὺς δὲ φοβουμένους τὸν κύριον=

" δοξάζει.

Ὁ δεῖ ἐπιχειρούμενον καὶ ἐπιβαίνειν [illegible]

[illegible] συμφορᾷ περιπέσοι ἀλλὰ

μᾶλλον κοινωνεῖν τῆς ἀθυμίας εἰ=

εἰ δὲ τῷ παρὰ . . ἔχοι τὸ βίον τοῦ-
τον ἡγείσθω τρισάθλιον καὶ
εὐημερεῖν ἅπαντα. τοὺς πολλοὺ-
τὰ θεῖα ποιουμένους σέβειν ὅ-
σον καὶ πάσης ἀξιοῦν αἰδοῦς -
καὶ τιμῆς.

" Ὁ ὀμνύων τῷ πλησίῳ αὐτοῦ, καὶ
" οὐκ ἀθετῶν τὸ ἀργύριον αὐτοῦ
" οὐκ ἔδωκεν ἐπὶ τόκον καὶ δῶρα
" ἐπ' ἀθῴοις οὐκ ἔλαβε ὁ ποιῶν ταῦ-
" τα οὐ σαλευθήσεται εἰς τὸν αἰ-
" ῶνα

Τοὺς μὲν ὅρκους ἡ ἀλήθεια βεβαι-
ούτω καὶ τὴν εὐπορίαν ἡ πλεο-
νεξία μὴ μανθανέτω εἶδος δὲ
ταύτης ὁ τόκος ἀδυρόταλος * + *
δὲ ἔσαι δικάζων ἡ γὰρ δωρ[ε]ὰν ἀδι-
κία

ἀδικία διαφθείρει· ὁ δὲ δίκαιος ταύ-
της ἆθλον τῆς ἀρετῆς τὸ ἔχειν
ἀεὶ τὴν θείαν ἐπικουρείαν καὶ
ζωὴν προσμένειν αἰώνιον:

Στηλογραφία τῷ δαδ ψαλμός, ιε.
Ἐν ταῦτα προαγορεύει τοῦ δεσπότου
τὸ πάθος καὶ τὴν ἀνάστασιν καὶ
τὴν σωτηρίαν τῶν εἰς αὐτὸν πε-
πιστευκότων. ἡ δὲ ἐπιγραφὴ πρὸς
τῷ θανάτῳ καὶ τὴν νίκην δηλοῖ.
στῆλη γὰρ οὐ τάφοις ἐπιτίθεται
μόνον ἀλλὰ καὶ νικῶσιν ἀνίσταν-
ται. ἐκ προσώπου δὲ τοῦ σωτῆρος
εἴρηται ὁ ψαλμὸς κατὰ τὸ ἀνθρώ-
πινον

" Φυλαξόν με κε ότι επί σοι ήλπισα
" είπα τω κω μου, κε μου ει σύ.
Ζητεῖ μὲν ὡς ἄνθρωπος φυλαχθῆναι
ὡς δὲ θε̄ τὴν ἀξίαν δίδωσιν.
" Ότι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔ=
" χεις τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ
" ἐθαυμάστωσε ὁ κς
Σύμμαχος ἀγαθόν μοι οὐκ ἔστι, ἀ=
νευ σου ἐκάτερα δὲ τῆς εὐσεβείας
ἔχεται· καὶ ἡμεῖς γὰρ παρὰ θεοῦ
τῶν ἀγαθῶν ἀπολαύομεν καὶ
αὐτὸς τῆς ἡμετέρας δικαιοπρα=
γίας οὐ χρήζει:
" Πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.
Τοὺς ἀποστόλους ἐν ταῦθα αἰνίττε=
ται καὶ τοὺς δι' ἐκείνων πιστεύσαν

τας

πιάσαντας

" ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν

" μετὰ ταῦτα ἐτάχυναν.

Πολλάκις δὴ ποι τοὺς ἀντιπάλους ἡμῶν=

ελαις παραδώσω, καὶ τὴν μνήμην

αὐτῶν κατακεύψω τῇ λήθῃ:

" Κς μερὶς τῆς κληρονομίας μου καὶ

" τοῦ ποτηρίου μου

Κληρονομίαν ὁ Κς ἀνθρώπινος τῶν

τῶν ἐθνῶν βασιλείαν· ποτήρι=

ον δὲ ὃν ὑπὲρ ἡμῶν κατεδέξα=

το θάνατον

" σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονο=

" μίαν μου ἐμοί σχοινία ἔπεσάν

" μοι ἐν τοῖς κρατίστοις μου καὶ γὰρ

" ἡ κληρονομία μου κρατίστη μου

" ἐστί

ξ. ἀνθρώπων

Οὐκ εἶπεν ὁ διδοὺς ἀλλὰ ἀποκα-
θιστῶν ἀνθρωπίνως γὰρ ὁ Χς
ὑπὲρ .. νων ὀφθεὶ τὴν προτέραν
ζωὴν καὶ τὴν δεσποτείαν ἀξιῶν
ἡμᾶς ἀπολαβεῖν ταύτης γὰρ
ἕνεκα τῆς κληρονομίας τὰς
παρούσας ἐδεξάμην ἐπιβου-
λάς· ἀκύρας σχοινία φησὶ κρα-
τίστη ἡμῶν σωτηρία ἡμῶν

» Εὐλογήσω τὸν Κν τὸν συνετίσαν-
» τά με ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαί-
» δευσάν με οἱ νεφροί μου.

Σοφιζόμενος ὑπὸ Κυ, καὶ ἀεί σοι
χρόμενος λογισμοῖς τῆς τοῦ
πάθους νυκτὸς πειράσομαι
νύκτα γὰρ ἐκάλεσε τὸν ζωφώδη

φώδη

τὸ φαύλη τῶν πειρασμῶν μηδεὶς δὲ
ἀνάρμοστος οἰέσθω τοὺς κατὰ λόως* 
αὔξεσθαι κατὰ ἀνθρωπίαν φύσιν.
τὸν ἰν γὰρ φησὶ λουκᾶς ἰς δὲ προ-
έκοπτε σοφία καὶ ἡλικία·

* decet aliquid

„ Προωρώμην τὸν κν ἐνώπιόν μου διὰ
„ παντὸς ὅτι ἐκ δεξιῶν μου ἐστὶν ἵνα
„ μὴ σαλευθῶ

Ἀνθρωπίνως καὶ ταῦτα ἐκ προσώπου
τοῦ δεσπότου, εἰνάει ὑπὸ τῆς θεί-
σπερχόμενος φύσεως. τῶν σωτηρίων
προσυμπαθεῖ· καὶ τῇ ἐλπίδι τῆς
ἀναστάσεως ἐπευφραίνομαι οὔτε
γὰρ ἡ ψυχή μου εἰς ᾅδου καταλειφ-
θήσεται οὐδὲ ἡ σάρξ διαφθαρήσε-
ται, εἰς ζωὴν δὲ ταχέως ἐπανήκω

ταύτην ὑποδείξω τοῖς ἀνθρώποις

,, Διατοῦτο εὐφράνθη ἡ καρδία μου
,, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου ἔτι δὲ
,, καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλ-
,, πίδι ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυ-
,, χήν μου εἰς ᾅδην οὐδὲ δώσεις τὸν
,, ὅσιόν σου ἰδεῖν διαφθοράν ἐγνώ-
,, ρισάς μοι ὁδοὺς ζωῆς πληρώσεις
,, με εὐφροσύνης μετὰ τοῦ προσώ-
,, που σου τερπνότης ἐν τῇ δεξιᾷ σου
,, εἰς τέλος

Ἐπεὶ ἐν τῷ πάθει ἔλεγε περίλυπος εἰ-
μὴ εἰκότως ταῦτα φησὶ διδάσκων
ἐστὶν ἀπαθὴς καὶ ἄτρεπτος καὶ ἀθά-
νατος καὶ κατὰ τὴν ἀνθρωπείαν
γενήσεσθαι φύσιν ὡς γὰρ δὲ τοῦτο
ἦν ἀεὶ καὶ μέντοι καὶ τὴν ἀνθρωπί-
νην

ἀνθρωπίνην φύσιν παραγαγὼν τοῦ το
ἐσθίον ἐκ μήτρας ἀλλὰ διὰ παθῶν
ὁδεύσας συνεχώρη ἵνα τὴν ἁμαρ=
τίαν καταλύσας παύσῃ τὴν τοῦ δι=
αβόλου τυραννίδα:

" Προσευχὴ τῷ δαδ - ,ις,

Διωκόμενος ὑπὸ τοῦ σαοὺλ τοῦτον
φησὶ τὸν ψαλμὸν τοῦ θυ εἰς ἐπ=
ακουσίαν καλῶν:

" Εἰσάκουσον κε δικαιοσύνην μου
" πρόσχες τῇ δεήσει μου

Πάλιν ἐν ταῦθα δικαιοσύνην οὐ τὴν
τελείαν ἀρετὴν λέγει ἀλλὰ τὴν δι=
καίαν αἴτησιν, ὁ σύμμαχος δὲ καὶ
θεοδοτίων κε δικαιοσύνης. ἀκύλας
δέ. εἰσάκουσον κε δίκαιον ἀντὶ
τοῦ δικαίως, καὶ μὴ μακροθύμως

" ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν
" χείλεσι δολίοις
Σύμμαχος οὐ διὰ χειλέων δολίων κα-
θαροῖς γάρ φησὶ χείλεσιν ἱκετεύω
ταῦτα φρονῶν ἃ καὶ φθέγγομαι
" Ἐκ προσώπου σου τὸ κρίμα μου
" ἐξέλθοι·
Ἀντιβολῶ δὲ δικάσαι τῆς κατ' ἐμὲ δίκα
παρὰ σου τῇ φωνῇ τὸ δίκαιον
" Οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτη-
" τας ἐδοκίμασας τὴν καρδίαν μου
" ἐπεσκέψω νυκτὸς ἐπύρωσάς με καὶ
" οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία·
Ἐν ταῦτα διδάσκει ὡς πολλάκις τὸν
σαοὺλ ὑποχείριον λαβὼν οὐκ ἀ-
νεῖλεν· διὸ καὶ μνημονεύει ὅταρ
ἐν νυκτὶ καθεύδοντα τὸν σαοὺλ
περισώσας καὶ θανατῶσαι αὐτὸν
οὐκ

οὐκ ἐάσαι τινά. ἢ καὶ ἐρωτικῶς ἢ
νύκτα ταῖς συμφοραῖς ὥσπερ δο-
κιμασίαν τῶν πέρρωσιν:
" Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ
" ἔργα τῶν ἀνθρώπων.
Ὅπως ἂν μὴ λαλήσῃ ἐδοκίμασας καὶ
ὅτι καὶ τὴν γλῶτταν τοῦ κατ' αὐτοῦ
λοιδορείας ἐλευθέραν ἐφύλαξα
τ λοις καὶ ἔπραττεν ἐκεῖνος εἰπεῖν οὐκ-
ηνεσχόμενος ἐγώ.
" Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ
" ἐφύλαξα ὁδοὺς σκληράς
Τοῦτο φησὶ δέδρακα τὸ δυσχερὲς πειθό-
μενος ταῖς σαῖς ἐντολαῖς:
" Καταρτίσαι τὰ διαβήματά μου ἐν ταῖς
" τρίβοις σου
Ἱκετεύω τοίνυν μὴ παρατραπῆναί μου

τὸν σκοπὸν· διαβήματα γὰρ τῆς πρα
ξεως τῶ ὀρμεῶ προσηγορεύουσιν.
,, Ἵνα μὴ σαλευθῶσιν τὰ διαβήματά-
,, μου, ἐγὼ ἐκέκραξα ὅτι ἐπήκου-
,, σάς μου ὁ Θεὶ
Πεῖραν ἔχων τῆς σῆς φιλανθρωπίας
ἐχρησάμην τούτοις τοῖς λόγοις ἠκου-
σας γάρ μου πολλάκις παρακαλοῦν-
τος
,, Κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκου-
,, σον τῶν ῥημάτων μου θαυμάστω-
,, σον τὰ ἐλέη σου, ὁ σώζων τοὺς
,, ἐλπίζοντας ἐπὶ σοί
Δέξαι τὴν ἱκετείαν κύριε πολλαῖς
γλώσσαις εἰς ὑμνῳδίαν ὑμνήσου-
σι γὰρ τὴν πρόνοιαν οἱ ἐλεούμενοι
βλέποντες, εἰώθασι δὲ τοὺς εὖ πεπονθότες
θόσιν· ἐπικουρίας χεῖρα ὀρέγειν

ὀρέγειν
» ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου
» φύλαξόν με κύριε ὡς κόρην ὀφθαλ-
» μοῦ.

Ἀνθεστηκότας τῇ τοῦ θεοῦ δεξιᾷ τοὺς πολεμοῦντας αὐτὸν καλεῖ καὶ εἰκό-τως ὑπὸ γὰρ θεοῦ ἐχρίσθη παρακαλεῖ δὲ <u>τοὺς αὐτῆς</u> ἐξ αὐτῶν φυλακῆς ἀξιωθῆναι παρὰ θεοῦ ὅσης, τοῦ ὀφθαλμοῦ.

» ἐν σκέπῃ τῶν πτερύγων σου σκεπά-
» σεις με ἀπὸ προσώπου ἀσεβῶν
» τῶν ταλαιπωρησάντων με· οἱ ἐχ-
» θροί μου τὴν ψυχήν μου περιέσ-
» χον

Πτέρυγας θεοῦ ὀξείαν καὶ σύντομον τῆς προνοίας ἀσφάλειαν ὀνομάζει

» τὸ στέαρ αὐτῶν συνέκλεισαν τό

" τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφα-
" νίαν
Τὸ στέαρ τινὲς τὴν μεσείαν καὶ εὐεξίαν ὠνόμασαν· ἐμοὶ δὲ δοκεῖ τὴν ὁμόνοιαν καὶ φιλαδελφίαν οὕτω καλεῖν τοῦτο ἡ τῶν ἐπῶν ἀκολουθία παραδηλοῖ. πᾶσαν γὰρ φυσικὴν ἀποκλείσαντες φησὶν εὐσπλαγχνίαν, καὶ οὐδὲ μίαν χώραν τοῖς τῆς φιλαδελφίας λογισμοῖς δεδωκότες φθέγγονται μὲν ὑψηλὰ καὶ ὑπέρογκα ἐνέδρας δέ μοι παντοδαπὰς ἴσασιν:
" Ἐκβάλλοντές με νυνὶ περιεκύκλω-
" σάν με
Αὐτὸ μὲν τῆς πατρώας ἐξήλασαν γῆς καὶ πάλιν ἐνθάδε κἀκεῖσε διατρέχον

διατρέχουσι· συλλαβεῖν ἐφιέμενοι
ἐπειδὴ τὸ εὐθὲς οὐκ ἐθέλουσι βλέ-
πειν, ἀλλ' εἰς τὸ σκολιῶς ἔχουσι
τῆς διανοίας τὸ ὄμμα·
,, Τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖ-
,, ναι ἐν τῇ γῇ· ὑπέλαβέ με ὡσεὶ λέ-
,, ων ἕτοιμος εἰς θήραν καὶ ὡσεὶ σκύμνος
,, ~~[illegible]~~ος οἰκῶν ἐν ἀποκρύφοις
Σύμμαχος τοὺς ὀφθαλμοὺς αὐτῶν
ἔταξαν ἐκκλίνειν ἐν τῇ γῇ·
,, Ἀνάστηθι κύριε πρόφθασον αὐτοὺς καὶ
,, ὑποσκέλισον αὐτούς· ῥῦσαι τὴν ψυ-
,, χήν μου ἀπὸ ἀσεβοῦς ῥομφαίαν
σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου·
Θεοδοτίων ἀντικώλυσον· ὑποσκέλισον
εἴρηκεν ἐκ μεταφορᾶς τῶν λαθρέ-
ως τοὺς θέοντας καταβαλόντων· ἐμὲ δὲ

τῆς ἐκείνου ἐπιβουλῆς ἐλευθέρωσον
τῇ εὐμφαίασου χρώμενος κατ' αὐτῶν
σύμμαχος ἐπὶ μαχαίρασου:
" Κὲ ἀπὸ ὀλίγων ἀπὸ τῆς διαμέρισον αὐ=
" τοὺς ἐν τῇ ζωῇ αὐτῶν καὶ τῶν κεκρυ=
" μένωνσου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν:
Τῷ ὄρμσου γάρ φησι τοὺς ἀνθρώπους
παραπέμπεις θανάτῳ σὺ εἶπε γῆ
ἐπιγείους μὲν ἀπ' ὀλίγων διαμέρισον
αὐτοὺς. ἐγὼ δὲ εἰ καί σοι τῷ
θανάτῳ παραπέμψαι ῥᾴδιον ἀλλ'
ὅμω ἱκετέυω ζῶντας αὐτοὺς σκεδα-
σθῶσι καὶ τῶν κακῶν αὐτῶν συμ=
φορὰν διαλυθῶσι καὶ τῶν ἀποκει=
μένων σου τιμωριῶν μεταοχεῖν
τὸ δὲ ἐπλήσθη ἀντὶ τοῦ ἐμπλησ=
θήτω οἱ δὲ κεκρυμμένων σοι παρὰ
σοῦ αἱ τιμωρίαι καὶ μούσης
φησὶ

φησί· οὐκ ἰδοὺ ταῦτα σιωπήσαντα παρ᾽ ἐ=
μοί· καί ἐσφράγισται:

» Ἐχορτάσθησαν ὑῶν καὶ ἀφῆκα τὰ
» καταλοιπα τοῖς νηπίοις αὐτῶν.

Ἄλλως ὁ σύμμαχος χορτασθήσονται
υἱοί, καὶ ἀφήσουσι τὰ λείψανα αὐ=
τῶν. τοῖς νηπίοις αὐτῶν. οἶδα φησί
σε τὴν δικαίαν σου τιμωρίαν οὐ
μόνον αὐτοῖς ἐπάξεις ἀλλὰ καί
τοῖς υἱοῖς καί τοῖς ἐγγόνοις αὐτῶν
τὴν τῶν προγόνων πονηρίαν μι=
μησαμένοις. τὸ δὲ χορτασθήσον=
ται. ἀντὶ τοῦ εἰς κόρον μεθέξου
σι τῶν κακιῶν:

» Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι
» τῷ προσώπῳ σου χορτασθήσομαι

,, ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

Ἐκεῖνοι μὲν γὰρ τοιαύτας δώσουσι δίκας· ἐγὼ δὲ τῆς παρὰ τῆς δικαιοσύνης σου προνοίας ἀγαθοῖς ἐντρυφήσω· πεῖραν μεγίστην τῆς σῆς εὐεργεσίας δεξάμενος:

,, Εἰς τὸ τέλος τῷ παιδὶ κυρίου τῷ Δαυὶδ ἃ ἐλά
,, λησε τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς
,, ταύτης ἐν ἡμέρᾳ ᾗ ἐρρύσατο αὐτὸν
,, ὁ κύριος ἐκ χειρὸς πάντων τῶν ἐχ=
,, θρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαοὺλ
,, καὶ εἶπεν:

Δήλη ἡ ἐπιγραφὴ καὶ ἑρμηνείας οὐ δεομένη. θαυμάσαι δὲ ἄξιον τὴν τοῦ προφήτου φιλοσοφίαν. τοσαύτας γὰρ ἐπιβουλὰς ὑπὸ τοῦ Σαοὺλ ὑπομείνας συνέταξεν αὐτοῦ τοῖς ἐχθροῖς ἀλλὰ τῶν πολεμίων χωρί

σας

χρείσας· οὐχὼς δυσμενῶς ἐμνημό=
νευσεν εἰς τὸ τέλος δὲ προσκεῖται
ἐπειδὲ καὶ προφητείαν ἔχει τῆς τῶν
ἐθνῶν κλήσεως καὶ τῆς ἰουδαίων
ἀποτελειώσεως· ἀκύλας μακεύτεον
ἐγένετο χρόνοις:

„ Ἀγαπήσω σε κε ἡ ἰσχύς μου κε κρα=
„ ταίωμά μου, καὶ καταφυγή μου καὶ
„ ῥύστης μου ὁ θεός μου βοηθός μου καὶ
„ ἐλπιῶ ἐπ' αὐτὸν ὑπερασπιστής μου
„ καὶ κέρας σωτηρίας μου καὶ ἀντι=
„ λήπτωρ μου

Ἀγάπῃ ὁ προφήτης τὰς εὐεργεσί· ἀμεί=
βεται. ταύτην γὰρ μόνην τῷ θεῷ
τὸν εὐπεπονθότα δυνατὸν ἀντιδοῦ=
ναι. ὑπισχνεῖται δὲ ἀγαπήσειν οὐχώς

οὐδέπω τέλαιον τοῦτο κατορθῶσαι
ἀλλὰ κόρον λαβεῖν τῆς ἀγάπης οὐκ
ἀνεχόμενος εἶτα ταῖς εὐεργεσίαις
θείαις ποικίλας προσηγορίας κα-
λεῖ τοῦ θεοῦ ἰσχύω, ὡς ταύτης με-
ταλαχὼν στερέωμα δὲ ὡς τὴν...
κατὰ τῶν πολεμίων ὀφθεὶς καὶ κα-
ταφυγὴ δὲ ὡς τεῖχος αὐτοῦ ἐσχηκὼς
εὑρὼν ὡς δι' αὐτοῦ τῶν πολεμίων
ἀπηλλαγμένος βοηθὸν ὡς ἐκεῖθεν ἐ-
πικουρεῖ· τυχὼν ὑπερασπιστὴν ὡς πρό-
μαχον κέρας σωτηρίας ἐκ μεταφο-
ρᾶς τῶν ζώων τοῖς τῶν κεράτων ἀμυνο-
μένων
,, Αἰνῶν ἐπικαλέσομαι τὸν κύριον καὶ ἐκ τῶν
,, ἐχθρῶν μου σωθήσομαι
Ἐντεῦθεν διδασκόμεθα χάριν μὲν
μὲν

μὲν ὁμολογῶμεν ὑπὲρ ὧν εἰλήχαμεν ἀ=
γαθῶν αἰτεῖν δὲ τὰ ἐνδέοντα τοῦτο
γάρ φησι ποιῶν κρείττων ἔσομαι
τῶν ἐχθρῶν εἶτα διηγεῖται τὰς ἐπι=
βουλάς:

Περιέσχον με ὠδῖνες θανάτου καὶ
χείμαρροι ἀνομίας ἐξετάραξάν με ὠδῖ=
νες ᾅδου περιεκύκλωσάν με προέφ=
θασάν με παγίδες θανάτου:

Ὠδῖνας θανάτου, καὶ ᾅδου τοὺς θανα=
τηφόρους καλεῖ κινδύνους χειμά=
ρους δὲ τὰς ἀθρόας, καὶ ἀδίκους τῶν
ἐχθρῶν προσβολὰς παγίδας δὲ θα=
νάτου τοὺς δόλους καὶ τὰς ἐνέδρας
ἐκάλεσεν:

Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην
τὸν κύριον καὶ πρὸς τὸν θεόν μου ἐκέ=
κραξα

” ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς
” μου καὶ ἡ κραυγή μου ἐνώπιον
” αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐ-
” τοῦ·

Ὑπὸ τοσοῦτον φησὶ πολιορκούμενος συμφορῶν. τὴν θείαν ἐπικαλεσάμενος ῥοπὴν καὶ παραυτίκα μου τὴν ἱκεσίαν ἐδέξατο. ναὸν δὲ οὐ τὸν χειροποίητον φησὶ οὐδὲ γὰρ ᾠκοδόμηται ἀλλὰ τῶν οὐρανῶν·

” Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη
” ἡ γῆ καὶ τὰ θεμέλια τῶν ὀρέων ἐ-
” ταράχθησαν, καὶ ἐσαλεύθησαν ὅτι
” ὠργίσθη αὐτοῖς ὁ θεός ἀνέβη καπνὸς
” ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώ-
” που αὐτοῦ καταφλεγήσεται ἄνθρα-
” κες ἀνήφθησαν ἐπ' αὐτοῦ

'' ἐπ᾽ αὐτοῦ

Ταῦτα τέθεικεν. οὐχ ὡς σαρκῶν γεγενημένη ἀλλ᾽ ὡς οὕτω τῇ πί-
στει πεπονημένη οὐ τιμωρού-
μενος δὲ ὁ θεὸς πολλάκις τοι
αὐτὰ πεποίηκεν ἀλλὰ καὶ δε-
σπιζόμενος:

'' Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέ-
'' βη καὶ γνόφος ὑπὸ τοὺς πό-
'' δας αὐτοῦ. καὶ ἐπέβη ἐπὶ χε-
'' ρουβὶμ καὶ ἐπετάσθη ἐπετάσ-
'' θη ἐπὶ πτερύγων ἀνέμων καὶ
'' ἔθετο σκότος ἀπὸ κρυφὴν αὐ-
'' τοῦ κύκλῳ αὐτοῦ ἡ σκηνὴ
'' αὐτοῦ:

Πάλιν ἐνταῦθα τοῦ θεοῦ τὴν ἐπι-
φάνειαν διηγούμενος ἱκαν

τοῖς ἀκροαταῖς ἀντίληψιν δέος.
ἀλλ᾽ ὅμως οὔτε κατάβασιν οὔτε
ἀνάβασιν ἡμεῖς τῆς θείας ἐπι-
στάμεθα φύσεως. ἀπερίγραπ-
τον γὰρ τὸ θεῖον πανταχοῦ
παρὸν, καὶ τὰ πάντα κατέχον
καὶ περιέχει σιὼ τὸ τείνειν ἐκ-
κλινε. καὶ κατέβη νοήσωμεν
ὅτι τὴν ὀξεῖαν ἐπιφάνειαν
ἔδειξε. τὸν γνόφον δὲ διὰ τὸ
τῆς παρουσίας ἀόρατον. τὴν
δὲ τῶν χερουβὶμ ἐπίβασιν
καὶ ἐπὶ τῶν ἀνέμων πτῆσιν
τὸ τῆς ἐπιφανείας ὀξὺ. τὸ δὲ
ἔθετο σκότος ἀποκρυφὴν τὸ
τῆς φύσεως ἀθεώρητον, τὸ
περὶ αὐτὸν φῶς διὸ καὶ ὁ μα-
κάριος

μακάριος ἔφη παῦλος ὁ μόνος
ἔχων ἀθάνατον φῶς οἰκῶν ἀ=
πρόσιτον:

” Σκοτεινὸν ὕδωρ ἐνεφέλαις ἀέρων
” ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον
” αὐτοῦ αἱ νεφέλαι διῆλθον χά=
” λαζα καὶ ἄνθρακες πυρός.

Καθάπερ φησὶ τῇ πυκνότητι τῶν
νεφῶν ζοφώδης γενόμενος ὁ
ἀήρ, τῆς ἀστραπῆς ἐκπέμπει
τὴν αἴγλην, οὕτως ἀόρατος ὢν
ὁ τῶν ὅλων θεὸς καὶ τοῦ νοεροῦ
φωτὸς ταῖς ἀκτῖναις ἀφθόνως
καὶ τῶν κολαστικῶν πυρὶ κο=
λάζει τοὺς πονηρίᾳ συζῶντας.
τοῦτο γὰρ παρεδήλωσεν ἐπα=

γαγὼν

χάλαζαν καὶ ἄνθρακες πυρὸς τὸ
ἄνθος ἀνήφθη. τινὲς τοὺς ἁγί=
ους ἀποστόλους φησὶ ἐκ τοῦ θεί
καθὸ πῦρ λέγει ὁ θεῖ ἀπαντο
" Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ κύ-
" καὶ ὁ ὕψιστος ἔδωκεν φωνὴν
" αὐτοῦ ἐξαπέστειλε βέλη καὶ ἐσ=
" κόρπισεν αὐτοὺς καὶ ἀστραπὰς
" ἐπλήθυνεν, καὶ συνετάραξεν
" αὐτοὺς καὶ ὤφθησαν αἱ πηγαὶ
" τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη=
" σαν τὰ θεμέλια τῆς οἰκουμέ=
" νης. ἀπὸ ἐπιτιμήσεώς σου κύ
" ἀπὸ ἐμπρήσεως πυρὸς ὀργῆς
" σου ἐξαπέστειλεν ἐξ ὕψους
" καὶ ἔλαβέ με
Πολλάκις ταῦτα ποιεῖ ὁ τῶν

ὅλων

ὅλων πεντάκις. διδάσκων ὡς
δύναται μὲν ἐκχέαι πᾶσαν πα=
νωλεθρίαν ἐπενεγκεῖν· φιλανθρω=
πίᾳ δὲ χρώμενος ἀναβάλλεται
τὴν τιμωρίαν καὶ προσμένει
τὴν μετάνοιαν
„ Προσελάβετό μεν ἐξ ὑδάτων πολ
„ λῶν:
Ὕδατα τροπικῶς τοὺς πολεμίους
„ Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνα=
„ τοῖς καὶ ἐκ τῶν μισούντων με
„ ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.
Προφανῶς φησὶ τὴν περὶ ἐμὲ κη=
δεμονίαν· τοῖς ἐμοῖς ἔδειξε
πολεμίοις καὶ πέπληχεν ἅπαν=
τας καὶ οὐρανόθεν μοι τὴν

ἐπικουρίαν παρέχει· ταύτης δὲ
με τῆς προθυμίας ἠξίωσαι τοῦ
τῶν πολεμίων ἰσχυρὸν θεα-
σάμενος· ἐσαρεώθη γάρ φησὶ
ὑπὲρ ἐμέ.

„ Περιεχύθασάν με ἐν ἡμέρα κακώ-
„ σεώς μου

Ἐνταῦτα αἰνίττεται ὡς μὲ δοκεῖ
τὴν τοῦ ἀβεσαλὼμ ἐπανάστασιν
μετὰ τὴν ἁμαρτίαν γεγενημέ-
νην κακωσιν ὁ σύμμαχος
ταλαιπορία καλεῖ τῆς ψυχῆς
λέγει τὴν ἀσθένειαν δι' ἣν ἡ
ἁμαρτία γεγένηται

„ Καὶ ἐξένεγκέ με εἰς πλατυσμὸν
„ καὶ ἐξήγαγέ με εἰς πλατυσμόν

Φθονούμενον φησὶ καὶ μεταβαλ
λόμενον

μεταβαλλόμενον ὑπείρησεν ὁ
δὲ καὶ τὴν στενοχωρίαν εὐρυ-
χωρίαν εἰργάσατο ἀντὶ τοῦ
προσδοκομένου θανάτου τὴν
ζωὴν χαρισάμενος

„ Ῥύσεταί με ὅτι ἠθέλησέ με

Ἐλπίζω ὅτι εἰς τὸν ἔπειτα χρόνον
τὴν αὐτῆς ἀξιώσει με βοηθείας
καὶ κρείττω ἔσομαι τῶν δυσ-
μενῶν καὶ ὅτι μάλιστα πλείστην
ἔχουσι δύναμιν:

„ Καὶ ἀνταποδώσει μοι κς κατὰ τὴν
„ δικαιοσύνην μου καὶ κατὰ τὴν
„ καθαριότητα τῶν χειρῶν μου
„ ἀνταποδώσει μοι ὅτι ἐφύλαξα
„ τὰς ὁδοὺς κυ καὶ οὐκ ἠσέβη-
σα

" ἀπὸ τοῦ θ(εο)ῦ μου ὅτι πάντα τὰ
" κρίματα αὐτοῦ ἐνώπιον μου καὶ
" τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέ-
" στησαν ἀπ' ἐμοῦ

Οὐκ ἄδικον ἀπὸ πονηπαγμοῦ πρόμοι-
αι ἀλλὰ τὸν ἐμὸν σκοπὸν
ἐπιστάμενος, καὶ εὐθὺς ἐπ' ἐμοὶ
σπουδὴν πάσας αὐτοῦ φυλάττω
τὰς ἐντολάς ἐπειδὴ πολλὴν, ἔ-
δειξε περὶ αὐτὸν τοῦ θ(εο)ῦ τὴν
κηδεμονίαν γεγενημένην δι-
κνύσι ταύτης τὸ δίκαιον προ-
τρέπων εἰς ἀρετὴν τοὺς ἀκού-
οντας καὶ διδάσκων οὐχ ὅσ-
τε ταύτης ἡμᾶς τυχεῖν μὴ γνη-
σίαν ζωὴν περὶ τὸν θ(εὸ)ν κτη-
σαμένους οὐδὲ γὰρ τὸν τῶν

τῶν

τῶν οἰκείων κατορθωμάτων κατάλογον γυμνῶσαι πᾶσι τὸ προσθήκης ἠθέλησεν ὑποθέσεως. ὡς οἱ δοῦλοι τῆς θείας ἀπολαῦσαι προνοίας:

Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ
καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου

Ἀπεχόμενος ἐκείνων ἀκάκως ἐργασάμην ἄμωμος εἰς τὸν ἔπειτα γενήσομαι χρόνον οὕτως ὁ μέγας Δαβὶδ τῶν οἰκείων κατορθωμάτων μνημονεῦσαι βιωτῶν ἵνα δείξῃ τῆς τοῦ θεοῦ προμηθείας τὸ δίκαιον οὐκ ἠνέσχετο τὸ ἡμῶν γεγενημένων δεῖξαι παρανομίαν.

" Καὶ ἀνταποδώσει μοι κς κατὰ τὴν
" δικαιοσύνην μου καὶ κατὰ τὴν
" καθαριότητα τῶν χειρῶν
" μου ἐνώπιον τῶν ὀφθαλμῶν
" αὐτοῦ

Τότε δή φησι ὅταν παντελῶς εἰς
τὸν ἔσχατα γενήσομαι χρόνον
οὕτως ὁ μέγας δαδ τῶν οἰ-
κείων κατορθωμάτων μνη-
μονεῦσαι βιβλίον ἵνα δείξῃ
τῆς τοῦ θυ προμηθείας τὸ
δίκαιον οὐκ ἀπέσχετο τὴν γε-
γενημένην δεῖξαι παρανομίαν:

" Καὶ ἀνταποδώσει μοι κς κατὰ τὴν
" δικαιοσύνην μου, καὶ κατὰ τὴν
" καθαριότητα τῶν χειρῶν μου
" ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ:

Τότε δή φησι ὅταν παντελῶς απ

ἄμωμος

ἄμωμος γένομαι. τελείω τεύξομαι
τῶν ἀγαθῶν· πάντα γὰρ ἐφορᾷ
ὁ τῶν ὅλων θεὸς καὶ πρὸς τὰς
ἀγαθὰς πράξεις ταύτας τὰς ὀ-
νόμασι χρῶν καθαρότητα καὶ
τὸν εὐσεβῆ τῆς διανοίας σκο-
πὸν ποιεῖται τὰς ἀντιδώσεις
εἶτα σαφέστερον:

» Μετὰ τοῦ ὁσίου ὅσιος ἔσῃ καὶ
» μετὰ ἀνδρὸς ἀθώου ἀθῶος
» ἔσῃ καὶ μετὰ ἐκλεκτοῦ ἐκ-
» λεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ
» διαστρέψεις· ὅτι σὺ λαὸν ταπει-
» νὸν σώσεις, καὶ ὀφθαλμοὺς
» ὑπερηφάνων ταπεινώσεις:

Πρὸς τὰς γνώμας τῶν ἀνθρώπων
ἁρμόζεις τὰς ἀντιδόσεις ὁ δεσπότα

τοῖς γὰρ ὁσίοις παρέχει τὰ τῆς ὁσιότητος ἄξια καὶ τοῖς ἀθώοις τῆς ἁμαρτίας ἀπηλλαγμένοις τὰ πρόσφορα, καὶ τοῖς ἐκλεκτοῖς καὶ τελείοις. τὰ τέλεια τοῖς δὲ τοῦ εὐθέως ἐκτραπεῖσιν καὶ τὴν ἐναντίαν ὁδεύουσι κατάλληλον παρασκευάζει ἔξω τῆς ὁδοῦ τὸ τέλος πῶς καὶ τίνι τρόπῳ; ὅτι σὺ λαὸν ταπεινὸν τοὺς μὲν γὰρ ἠμετρίῳ φρονήματι κεχρημένη ἢ ἐκ περιστάσεως τεταπεινωμένη σώσει ἀξίοις τοὺς δὲ τύφῳ δουλεύοντας κόπτειν εἰς γῆν ἀναγκάζεις

" ὅτι σὺ φωτιεῖς λύχνον μου κύ-

ριε

κύριε ὁ θεός μου φωτιεῖς τὸ σκότος μου.
Ἐπειδὴ σκότος τὰς θλίψεις ἐκά=
λεσε εἰκότως φῶς ὀνομάζει
τὴν τούτων ἀπαλλαγήν ταύτης
δέ φησι ἀπολαύω παρὰ σοῦ
τῆς προνοίας ἐπειδὴ ὁ λύχνος
ὁ τὸ ἀληθινὸν ὑποδεξάμενος
φῶς οὕτω καλεῖ τὴν τοῦ δού=
λου μορφὴν ἐμός ἐστι καὶ ἐκ
τῆς ἐμῆς οὐσίας πλασθεὶς
τοῦτο δὲ καὶ ἐν ἑτέρῳ ψαλμῷ
ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ
ἡτοίμασα λύχνον τῷ χριστῷ μου.
ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πει=
ρατηρίου καὶ ἐν τῷ θεῷ μου ὑπερ=
βήσομαι τεῖχος

Πειραλήσιον καὶ τεῖχος τῶν ἐνέδραν
φησὶν ἀδιαλείπτως φράξεσθε χαί-
ρειν λέγει

» Ὁ Θεός μου ἄμωμος ἡ ὁδὸς αὐτοῦ

Δικαίως ἰθύνει τὰ σύμπαντα καὶ
τούτου χάριν θαῤῥῶ· τοῦτο δὲ
παρὰ τῶν ἀγγελωδῶν σου χορῶν
μεμάθηκα.

» Τὰ λόγια Κυρίου πεπυρωμένα

Πεπυρωμένα γὰρ τὰ δόκιμα καὶ
ἀληθινά

» Ὑπερασπιστής ἐστι πάντων τῶν
» ἐλπιζόντων ἐπ' αὐτῷ

Πάντες οἱ εἰς αὐτὸν ἐλπίζοντες
τῆς αὐτῆς τεύξονται βοηθείας

» ὅτι τίς θεὸς πάρεξ τοῦ Κυρίου, ἢ »
» τίς θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν

ἡμῶν
Οὐδὲν γὰρ ἐπὶ Θεῷ ἔλεος ἵνα ὁ μὲν
τοῦτο ὁ δὲ ἐκείνῳ παρασχεῖν
τὴν αἴτησιν:
„ Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν
„ καὶ ἔθετο ἄμωμον τὴν ὁδόν
„ μου
Τῇ αὐτοῦ δυνάμει ῥώσας τὴν ἀθί-
αν τρίβον ὁδοῦ ἐπίγομαι
„ Καταρτιζόμενος τοὺς πόδας μου
„ ὡσεὶ ἐλάφου καὶ ἐπὶ τὰ ὑψηλὰ
„ ἱστῶν με
Καθὼς ἔλαφος τὰ ἰοβόλα θηρία
καταπατεῖ οὕτω μὲν ὑψηλό-
τερον τῶν πολεμίων πεποί-
ηκεν
„ Διδάσκων χεῖράς μου εἰς πό-
λεμον

Εἰς ἠχὼ γὰρ ταύτας ἐκείνων πε-
ριγίνομαι τῶν λογισμῶν
„ Καὶ ἔθου τόξον χαλκοῦν τοὺς βρα-
„ χιονάς μου τὰ κατὰ τῶν πο-
„ λεμίων ἀθιάζει παρεσκεύα-
„ σε βέλη καὶ ἔδωκάς μοι ὑπερ-
„ ασπισμὸν σωτηρίας καὶ ἡ δε-
„ ξιά σου ἀντιλαβετό μου καὶ ἡ
„ παιδία σου αὐτή με διδάξη

Καὶ ἐπέδυσας ἡμαρτηκότα καὶ
καταπεπτωκότα ἀνώρθωσας καὶ
ἐδίδαξας ὅσον ἡ ἁμαρτία
κακὸν καὶ τῆς σωτηρίας ἠξί-
ωσας
„ Ἐπλάτυνας τὰ διαβήματά μου
„ ὑποκάτω μου καὶ οὐκ ἠσθένη-
„ σαν τὰ ἴχνη μου

" ἴχνη μου

Ἐν τῆς στενοχωρίᾳ τῆς θλίψεως
ἔδωκας τὴν εὐρυχωρίαν τῆς πα=
ρακλήσεως ὅθεν ψυχαγωγού=
μενος μέχρι τοῦ παρόντος ἤρ=
κεσαν τὸ γὰρ ἐπλάτυνας εὐρυ=
χώρησας ὁ σύμμαχος εἴρηκεν.

" Καταδιώξω τοὺς ἐχθρούς μου καὶ
" καταλήψομαι αὐτοὺς καὶ οὐκ ἀπο=
" στραφήσομαι ἕως ἂν ἐκλίπωσιν ἐκ=
" θλίψω αὐτοὺς καὶ οὐ μὴ δύνωνται
" στῆναι πεσοῦνται ὑπὸ τοὺς πόδας μου

Οὕτως ὑπὸ τῆς σῆς προνοίας ῥωσθεὶς
ἐλπίζω πάντων περιγενέσθαι τῶν
δυσμενῶν καὶ μὴ πρότερον ἀπο=
στῆναι ἕως ἂν αὐτοὺς αὖθις ὑπη=
κόους ἐργάζομαι τοῦτο γὰρ παρε
δήλωσε

ἐκεῖνοι πεσοῦνται ὑπὸ τοὺς πό=
δας μου.

” Καὶ περιέζωσάς με δύναμιν εἰς
” πόλεμον συνεπόδισας πάντας
” τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑπο
” κάτω μου

Ἐμοὶ μὲν ἀσθένειαν ἐδωρήσω καὶ
ῥώμην τῶν πολεμίων δὲ τῶν
ὡρμημένων ἐπέδησας καὶ τοῦτο ἐστὶ
ἐπὶ τὸν γολιὰθ καὶ τὸν σαοὺλ ἰ=
δεῖν γεγενημένον:

” Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι
” νῶτον,

Ἔδωκάς μοι νῶτον ἀντὶ τοῦ εἰς φυ=
γὴν ἔτρεψας ἴδιον γὰρ φευγόντων
νῶτα διδόναι

” Καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευ
” σας ἐκέκραξαν καὶ οὐκ ἦν ὁ σώ
ζων

" ὁ σώζων πρὸς κν̄ καὶ οὐκ ἐπήκουσεν
" αὐτῶν
Ὅτε γὰρ ἀλλόφυλοι τοὺς εἰχείους καλοῦν=
τες εἰς ἐπικουρίαν θεοὺς τῆς
παρ' αὐτῶν προνοίας ἀπήλαυσαν
οὔτε ὁ σαοὺλ καὶ ὁ ἀβεσσαλὼμ
καὶ ὁ σεβεε καὶ οἱ λοιποὶ τῶν
ἰσραηλιτῶν πολέμιοι τὸν θν̄ ἔσ=
χηκασι σύμμαχον
" Καὶ λεπτυνῶ αὐτοὺς ὡς χοῦν κα=
" τὰ πρόσωπον ἀνέμου ὡς πηλὸν
" πλατειῶν λεανῶ αὐτούς.
Φροῦδοι φησὶ γενήσονται παντελῶς
τῆς ὑπὲρ μοὶ χάριτος στερούμενοι
" Ῥῦσαί με ἐξ ἀντιλογίας.
Ἐντεῦθεν προθεσπίζει τὴν κατὰ τοῦ
σωτῆρος τῶν ἰουδαίων μανίαν.

καὶ τὴν τῶν ἐθνῶν σωτηρίαν καὶ
παρακαλεῖ μηδεμίαν ἔχει κοι-
νωνίαν τὴν ἐκείνω ἀντιλογίαν
τὸ δὲ καταστήσει με εἰς κεφα-
λὴν ἐθνῶν εἰς τὸν χν πληροῦν-
ται ὡς κατὰ σάρκα ἐκ Δαδ γε-
νηθέντα οὐ γὰρ ἴσμεν τὸν Δαδ
ἐθνῶν βασιλεύσαντα ὁ δὲ χς
ἀεὶ ὡς θεὸς πάντων καὶ δεσπό-
των ἐδέξατο καὶ τὴν ἐθελούσιον
τῶν εἰς αὐτὸν πεπιστευκότων
δουλείαν μετὰ τὴν ἐνανθρώ-
πησιν

" Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι
" εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου

Ἐκ προσώπου ταῦτα φησὶ τοῦ χυ ὅτι
οἱ μὲν τῆς νομοθεσίας ἢ προσεῖχον ἐ-

ἐμοῦ

ἐμοῦ δεξάμενοι κληθέντα πώσ-
ποτὲ ῥᾳδίως μᾶλλα ὑπήκουσαν
καὶ τὴν ἐμὴν δεσποτείαν ἠγάπη=
σαν
” Υἱοὶ ἀλλότριοι ἐψεύσαντό με υἱοὶ ἀλ=
” λότριοι ἐπαλαιώθησαν καὶ ἐχώ=
” λαναν ἀπὸ τῶν τρίβων αὐτῶν.
Οἱ δὲ ἐν ὧ τάξει γραφέντες, ἀλλοτρί=
ους σφᾶς αὐτοὺς πεποιήκασιν ἀγ=
νώμονες περὶ τὸν εὐεργέτην γενό=
μενοι καὶ περὶ τὴν πίστιν χωλά=
σαντες καὶ τὴν εὐσεβῆ τρίβον
καταλιπόντες. τὸ δὲ ἐπαλαιώθη,
ὁ σύμμαχος ἀπεμαθήσονται
εἴρηκεν
” Ζῇ κύριος καὶ εὐλογητὸς ὁ θεὸς καὶ ὑψω=
” θήτω ὁ θεὸς τῆς σωτηρίας μου.

Μνημονεύσας τῆς ἰουδαί ἀντιλο=
γίας ἀρτὶ πλέγα τὸ πάθος καὶ τὴν
ἀνάστασιν οὐ μόνον δὲ ἐπὶ
ζῶν ἀλλὰ καὶ εἰς οὕτους ἂν ἐ=
λήλυθας καὶ τοῖς βουλομένοις
παρέχων τὴν σωτηρίαν.

» Ὁ θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ καὶ
» ὑποτάξας λαοὺς ὑπ' ἐμὲ ὁ ῥυστή=
» μου ἐξ ἐχθρῶν μου ὀργίλων ἀ=
» πὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ
» ὑψώσεις με ἀπὸ ἀνδρὸς ἀδίκου
» ῥύσῃ με

Ταῦτα τοίνυν ἐργασάμενος μακροῖς
ὕστερον χρόνοις ἔρυσαι καμὲ τῶν
ἀδίκως με πολεμούντων καὶ ὃν
ὑπεταξάς μοι λαὸν ἀπὸ φανοῦ ἀ=
πειθῆ:

» Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθ

νεσι·

ʼʼ ἔθνεσι κε καὶ τῷ ὀνόματί σου ψαλῶ
Διὰ γὰρ τῶν μικρῶν ὕστερον κλη=
θησομένων ἐθνῶν ἐν ἁπάσαις
ταῖς ἐκκλησίαις ὑμνήσουσι πῶς
ὅτι ταῦτα τῶν ψαλμῶν ῥήματα
πῶς ᾄδει πιστοί
ʼʼ Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέ
ʼʼ ως καὶ ποιῶν ἔλεος τῷ χω αὐτοῦ
ʼʼ τῷ δαδ καὶ τῷ σπέρματι αὐτοῦ
ʼʼ ἕως αἰῶνος.
Σὺ γάρ με χρίσαι εἰς βασιλέα καὶ
δόξῃ καὶ περίβλεπτον ἀποφαί=
νῃς καὶ τοὺς ἐκ τῆς ἐμῆς γενέ=
ως αὐτῶς τὸ δὲ ἕως αἰῶνος εἰς
χν ἀναφύντος γὰρ ἐκ σπέρμα
τος δαδ βασιλεὺς αἰώνιος ἐπὶ
τὸ γένος δαδ. ἕως τῆς αἰχμαλω
σίας

καὶ ἕως ζοροβάβελ ἡγεμόνευσαν
ἐπαύσαντο:

Ψαλμὸς τῷ Δαδ, ΙΗ,

Τῶν θείων νόμων ἤδη τρία παρὰ
τοῦ θείου διδασκόμεθα πα-
τὸν φυσικὸν ὡς φησὶ τὰ γὰρ ἀό-
ρατα αὐτοῦ ἀπὸ κτίσεως τὸν γραπ-
τὸν καὶ τὸν ἐν χάριτι· συμφώνως
τούτοις καὶ ὁ μακάριος Δαδ ἐν
τῷ δὲ τῷ ψαλμῷ διδάσκει πρῶ-
τον τὸν ἐν τῇ κτίσει κηρύττοντα
τὸν δημιουργὸν καὶ ἐφεξῆς
τοὺς λοιποὺς ὅθεν καὶ εἰς τὸ τέ-
λος ἐπιγέγραπται τῷ καινῷ ἐν
τῷ τέλει διαθήκῃ διαγορεύων:

›› Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ
›› ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει

ἀναγγέλ[λει]

" ἀναγγέλλει τὸ στερέωμα

Ἄρχη φασὶ καὶ μόνος ὁ οὐρανὸς φαινόμενος τοῦ δημιουργοῦ τὴν μεγαλουργίαν κηρύξαι. ἔθος δὲ τῇ γραφῇ τὰ ἑνικὰ πληθυντικὰ ἐκφέρει· ἀκολούθως δὲ οὐρανοὺς εἶτα στερέωμα φησὶ κατὰ τὸν θεῖον μωσῆ:

" Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα

" καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν

Ἡ τεταγμένη φησὶ νυκτὸς καὶ ἡμέρας διαδοχὴ τοὺς ὑπὸ τοῦ δημιουργοῦ τεθέντας δεικνύουσιν ὅρους καὶ τὴν ἐφεστῶσαν αὐταῖς προμήθειαν· τὸ δὲ ἐρεύγεται καὶ ἀναγγέλλει καὶ διηγοῦνται οὐχ ὡς ἔμψυχα φησὶ ἀλλὰ προσωποποιΐα τις

τὶς ἐστί. παράγουσα ἀπὸ τῶν ὁρατῶν
ἐπὶ τὸν ἀόρατον ὁδηγεῖσθαι κακεῖ-
νον ὑμνεῖν:

» Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν, οὐ-
» χὶ ἀκούονται αἱ φωναὶ αὐτῶν
» εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ
» φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρα-
» τα τῆς οἰκουμένης τὰ ῥήματα
» αὐτῶν

Ἐναργέστερον ἡρμήνευσεν ὁ Σύμ-
μαχος καὶ νὺξ νυκτὶ οὐ ἔπος
οὐδὲ λόγους ὧν ἀκούωνται φω-
νὰς ἀλλ' εἰς πᾶσαν τὴν γῆν ἐξηλ-
θεν ἦχος οὕτω καὶ ἀκτῖνας οὔτε
λόγον φησὶ ἀφιεῖσαι οὔτε ῥήμα-
τα προφέρουσα ἀλλὰ τὸν κανό-
να καὶ τὴν οἰκείαν τάξιν ὑπο

διατηροῦσα

ὑποδείκνυσι πᾶσαν γῆν καὶ θά-
λασσαν καλοῦσι ὑμνωδίαν:
» Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα
» αὐτοῦ καὶ αὐτὸς ὡς νυμφίος ἐκ-
» πορευόμενος ἐκ παστοῦ αὐτοῦ
» ἀγαλλιάσεται ὡς γίγας δραμεῖν
» ὁδὸν ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξο-
» δος αὐτοῦ καὶ τὸ κατάντημα αὐτοῦ
» ἕως ἄκρου τοῦ οὐρανοῦ καὶ οὐκ ἔστι
» ὃς ἀποκρυβήσεται τῆς θέρμης
» αὐτοῦ
Καὶ ταῦτα σαφέστερον οἱ τρεῖς ἡρμή-
νευσαν, ὅτι Ἀκύλας Σύμμαχος
καὶ Θεοδοτίων τῷ ἡλίῳ ἔθετο
σκήνωμα ἐν αὐτοῖς τουτέστι ἐν
τοῖς οὐρανοῖς
» Ὁ νόμος κῦ ἄμωμος ἐπιστρέφων

» ψυχὰς ἡ μαρτυρία Κυρίου πιστὴ σοφίζου-
» σα νήπια τὰ δικαιώματα Κυρίου εὐ-
» θεῖα εὐφραίνοντα καρδίαν, ἡ
» ἐντολὴ Κυρίου τηλαυγὴς φωτίζουσα
» ὀφθαλμοὺς ὁ φόβος Κυρίου ἁγνὸς
» διαμένων εἰς αἰῶνα αἰῶνος
» τὰ κρίματα Κυρίου ἀληθινὰ δεδι-
» καιωμένα ἐπὶ τὸ αὐτὸ ἐπιθυμη-
» τὰ ὑπὲρ χρυσίον καὶ γλυκύτερα
» ὑπὲρ μέλι καὶ κηρίον.

Εἴπαμεν περὶ τοῦ ἀπὸ τῶν κτισμάτων νόμου τοῦ φυσικοῦ. λέγει καὶ περὶ τοῦ γραπτοῦ τοῦτον γὰρ φησὶ ἀποχρῶντα δεῖξαι τὸν ποιητὴν ὅμως καὶ νόμον ἔδωκεν εἰς βοήθειαν ἐπιστρέψαι τοὺς πλανωμένους νόμον καὶ μαρτυρίαν καὶ

καὶ

καὶ δικαιώματα ἐντολὰς καὶ κρί=
ματα τὸν μωσαϊκὸν νόμον καλεῖ.
νόμον μὲν σοί τὴν ἀρίστην πολι=
τίαν ἐνδείκνυντα μαρτυρίαν
δὲ ὡς τῆς παραβάσεως τὴν τι=
μωρίαν διαμαρτυρούμενον δικαι=
ώματα ὡς δεικνύντα τὸ δίκαιον
καὶ ἄδικον διαμαρτυρούμε=
νον δικαιώματα ὡς δεικνύν=
τα τὸ δικαίου καὶ ἀδίκου διάφο=
ρον ἐντολὴν δὲ ὡς τὸ πρακτέον
ἐντελλόμενος κρίματα. ὡς τὰς
θείας ψήφους διδάσκοντα τίνων
τυχόντας οἱ δίκαιοι καὶ τίνων οἱ
ἄδικοι νήπια δὲ φησὶ τοὺς ἀτελεῖς
ἐν γνώσει ὀφθαλμοὺς δὲ τῆς δι=
ανοίας τὸ ὀπτικὸν εἰκότως δὲ τὸν

τοῦ θεοῦ φόβον ἁγνὸν προσηγόρευσεν
τουτέστι μεγαλόψυχος καθαρὸν ὡς
τὸν ἀνθρωπίνον φόβον ψεγομέ=
νη καὶ δειλίας ἐχομένους προσηγο=
ρίαν. ταῦτα ἐπιθυμητὰ τοῖς ἀλη=
θῶς ἀνθρώποις φησί ἀλλ' οὐ πᾶσι
ἁπλῶς:

" Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά
" ἀνταπόδοσις πολλή παραπτώματα
" τίς συνήσει

Μεγίστη φησί ἀντίδοσις πρόκειται τοῖς
ταῦτα φυλάττουσι αὐτά καὶ ἐπει=
δὴ εἴρηκεν φυλάσσειν αὐτά εἰς
μόνων λαβὼν τὴν ἀνθρωπίνην ἀσ=
θένειαν καὶ τοῦ ῥήματος τὸ ὑπερ=
ογκον λογισάμενος ἐπήγαγεν πα=
ραπτώματα τίς συνήσει καὶ προ=
θυμίαν πολλῆς φυλάξαι βουλη

βουληθὺ

βουληθῶ τοῦ θεοῦ τὰς ἐντολὰς ὑπὸ
τῆς φυσικῆς ἀσθενείας εἰς πολλὰ
παρασυρομένη καθέλκομαι καὶ
δὲ τὴν ἐνέργειαν ἁμαρτιῶν. Αὐτῷ
εὐπρόσωποι οἱ λογισμοὶ διὸ σοὶ
τῷ καθαρῷ μόνῳ βοῶ ἐκ τῶν
κρυφίων μου:

„ Ἐκ τῶν κρυφίων μου καθάρισόν-
„ με κε καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι
„ τοῦ δούλου σου.

Ἀλλοτρίους τοὺς δαίμονας φησὶν ὡς ἔ-
ξωθεν ἐπιβουλεύοντας καὶ παντελῶς
ἀρνησαμένοι τὴν πρὸς ἡμᾶς οἰ-
κειότητα

„ Ἐὰν μή μου κατακυριεύσωσι τότε
„ ἄμωμος ἔσομαι καὶ καθαρισθή-
„ σομαι ἀπὸ ἁμαρτίας μεγάλης καὶ
„ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ

» τοῦ στόματός μου καὶ ἡ μελέτη τῆς
» καρδίας μου ἐνώπιόν σου διὰ παν-
» τός, κε βοηθέ μου καὶ λυτρωτά μου

Ἐάν μή μου διὰ τούτων μέντοι τὴν
καινὴν διαθήκην προσαγορεύει
καὶ τοῦ βαπτίσματος τὴν χάριν
καὶ τὴν τοῦ ἁγίου πνς δωρεὰν
ὕψης καὶ τῶν προεσπαρμένων
ἡ ἄφεσις δίδοται καὶ εἰς τὸ ἔπειτα
χρόνον ἱκανὴ βοήθεια κατὰ τῶν
παθῶν χορηγεῖται· διὸ καὶ ἁρμο-
δίως τὸ ἀκροτελεύτιον τέθεικεν
πναρμαι καλῶν ὡς δημιουργὸν
λυτρωτὴν δὲ ὡς διὰ τοῦ λουτροῦ
τῆς παλιγγενεσίας ἐλευθεροῦντα
φθορᾶς καὶ τῆς τῶν δαιμόνων
δουλείας·

δουλείας

» Εἰς τὸ τέλος ψαλμὸς τῷ δαδ: 19·

Ἐπακούσαι μου κε ἐν ἡμέρα θλίψεως

ὑπερασπίσαι τὸ ὄνομα τοῦ θυ

ἰακὼβ

Ηνίκα ὁ σενναχηρεὶμ ἐπεστράτευσαν

τὴ ἱερουσαλὴμ, καὶ ἐζεκίας μετὰ

ἠσαΐου ἐν τῷ ναῷ ἔδραμεν. τῶν

παρὰ τοῦ ἀλλοφύλου βλάσφημον

ἐπιστολὴν ὑποδεικνύοντες τῷ θῷ ταῦ=

τα πεπλήρωται. πρὸ πολλοῦ τοίνυν

ὁ θεῖος δαδ φωτιζόμενος τοῦτον

λέγει τὸν ψαλμὸν δεικνὺς τὸν

λαοῦ ἀρχόμενος δεκτὴν γενέσθαι

τῶν βασιλέως ἱκεσίαν :

» Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου

» καὶ ἐκ σιὼν ἀντιλάβετο μου :

Ἅγιον ἐν ταῦθα τὸν ναὸν προσηγόρευ

σεν

» Μνησθείη πάσης θυσίας σου καὶ τὸ
» ὁλοκαύτωμά σου πιανάτω:

Παρακαλοῦσι τὸν θεὸν ἐπειδὴ εἰς τὴν
βασιλέως εὐσέβειαν καὶ τῶν ἱερείων
αὐτοῦ τῶν πολλῶν μνησθῆναι καὶ
δοῦναι ἐπελώσιν· ἵνα πλειῶσιν αὐτὸν
ἐξιλεῶσί τε θαύμασι· οὕτω γὰρ ὁ σύμ=
μαχος ἡ ἐμμένη καὶ τὴν ἀναφοράν=
σου πίονα ποιήσει:

» Δώη σοι κς κατὰ τὴν καρδίαν σου. καὶ
» πᾶσαν τὴν βουλήν σου πληρώσαι

Τὸν δίκαιον φησὶ κελτὴν ἱκετεύομεν
τῇ τῆς ψυχῆς σου καθαρότητι κατά=
λληλον τὴν ἀντίδοσιν δοῦναι

» Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου
» καὶ ἐν ὀνόματι θεοῦ ἡμῶν μεγα=
» λυνθησόμεθα αὐτοὶ συνεποδίσθη=
» σαν καὶ ἔπεσον ἡμεῖς δὲ ἀνέστη
» μεν καὶ ἀνωρθώθημεν κε σῶσον

σῶσον

" σῶσον τὸν βασιλέα καὶ ἐπάκουσον
" ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώ=
" μεθα
Ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐ=
τοῦ δηλώσαμεν τοῖς προσιοῦσιν ὀρέ=
γειν δεξιὰν δὲ πάλιν ἐνταῦθα
ἀνθρωπίνως εἴρηκεν. τὴν θείαν
οὕτως ὀνομάζων ἐνέργειαν τὰ δὲ
λοιπὰ τοῦ ψαλμοῦ ὡς ἐκ τούτου
σαφῆ.

Εἰς τὸ τέλος ψαλμὸς τῷ δαδ, κ´

Μετὰ τὴν λαμπρὰν νίκην ἐκείνην ὁ
μακάριος ἠρρώστησεν Ἐζεκίας καὶ
διὰ Ἠσαΐου μαθὼν τεθνήξεσθαι
τὸν θν̄ ἱκετεύσατο, καὶ ὑγιᾶναι καὶ
προσθήκην ζωῆς λαβεῖν πάλιν
τοίνυν καὶ τοῦτον ὁ θεῖος δαδ
ἐκ προσώπου γράφει τοῦ λαοῦ

λαοῦ ἐπὶ τῇ τοῦ βασιλέως ὑγίᾳ τὸν
θν̄ ἀνυμνῶν·
,, Κε ἐν τῇ δυνάμη σου εὐφρανθήσε=
,, ται ὁ βασιλεὺς· καὶ ἐπὶ τῷ σωτηρίω=
,, σου ἀγαλλιάσεται σφόδρα· τὴν ἐπι=
,, θυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας
,, αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέ=
,, ων αὐτοῦ οὐκ ἐστέρησας αὐτὸν
,, ὅτι προέφθασας αὐτὸν ἐν εὐλογί=
,, αις χρηστότητος ἔθηκας ἐπὶ τὴν κε=
,, φαλὴν αὐτοῦ στέφανον ἐκ λίθου
,, τιμίου ζωὴν ᾐτήσατό σε καὶ ἔδω=
,, κας αὐτῷ μακρότητα ἡμερῶν εἰς
,, αἰῶνα αἰῶνος μεγάλη ἡ δόξα αὐτοῦ
,, ἐν τῷ σωτηρίῳ σου δόξαν καὶ μεγα=
,, λοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν:
Δικαίως οὖν φησὶ καὶ φιλάνθρωπος ἀ=
μενῶς ἔδεξω τοῦ βασιλέως ἡμῶν

τὴν

τὴν προσευχὴν καὶ πάσας αὐτῷ δέ=
δωκας τὰς αἰτήσεις μᾶλλον δὲ μεί=
ζους τῶν αἰτήσεων δωρεὰς ἐδωρή=
σω. τοῦτο γὰρ ἐπήγαγεν ὅτι προ=
έφθασας αὐτὸν ἐν εὐλογίαις χρηστό=
τητος τὴν βασιλείαν γὰρ οὐκ ἐπιθεὶς
παρέσχες αὐτῷ οἰκεία δὲ φιλοτιμία
τῷ βασιλικῷ στεφάνῳ τὴν κεφαλὴν
αὐτοῦ ἐκόσμησας ἔλαβε δὲ καὶ ὅπερ
ἱκετεύσας ἐπέτυχεν, καὶ τελείαν
ζωῆς τῷ ἐπόθησας. τὸ γὰρ εἰς
αἰῶνα αἰῶνος καὶ τὸν μέλλοντα βί=
ον παραδηλοῖ τοῦ τοῖς φίλοις ηὐτρε=
πισμένον ὅτι τὸ ἀνώλεθρον ἔχει
μεγάλη ἡ δόξα αὐτοῦ οὐ γὰρ μόνον
αὐτῷ σωτηρίας δεδώρησαι ἀλλὰ
περιφανῆ πεποίηκας αὐτὸν, καὶ

καὶ περίβλεπτον τότε τῶν πολεμί-
ων παραδόξῳ θανάτῳ καὶ τῷ τὸν
ἥλιον ἐναντίον δραμεῖν· οὕτω δὲ
τοῦτο πανταχοῦ γῆς καὶ θαλάσσης
ἐγένετο γνώριμον, ὡς τῶν Βαβυλω-
νίων τῶν βασιλέων δῶρα πέμ-
ψαι τοῖς πάλαι δῶρον τοῖς ἀσσυρί-
οις παρέχουσιν· τοῦτο γὰρ Ἐζεκίου
χάριν ὑπέλαβον τοῦ δεδρακέναι
ἢ πεπονθέναι τὸν ἥλιον τῷ τοῦ
ἀσσυρίου θανάτῳ χρώμενοι τεκμηρίῳ
Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα
αἰῶνος καὶ τὸν μέλλοντα βίον πα-
ραδηλοῖ τὸν τοῖς φίλοις ηὐτρεπισμέ-
να ὅς τῷ ἀνώλεθρον ἔχῃ μεγάλη
ἡ δόξα αὐτοῦ· οὐ γὰρ μόνῳ αὐτῷ
σωτηρίαν δεδώρησαι ἀλλὰ περιφα-
νῆ πεποίηκας αὐτὸν καὶ περίβλεπτον

περίβλεπτον τότε τῶν πολεμίων παρα=
δόξῳ θανάτῳ, καὶ τῷ τὸν ἥλιον ἐναν=
τίον δραμεῖν οὕτω δὲ τοῦτο πανταχοῦ
χοῦ γῆς καὶ θαλάσσης ἐγένετο γνώ=
ριμον ὡς τῶν Βαβυλωνίων τῶν
βασιλέων δῶρα πέμψαι τοῦ παρα
δόξου τοῖς ἀσυνήθοις παρεχόντων
γὰρ Ἐζεκίου χάριν ὑπέλαβον τοῦ=
το δεδρακέναι ἢ πεπονθέναι τὸν
ἥλιον τῷ τοῦ ἀσυνήθους θανάτῳ χρώ=
μενος τεκμηρίῳ.
» Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα
» αἰῶνος εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ
» μετὰ τοῦ προσώπου σου ὅτι ὁ βα=
» σιλεὺς ἐλπίζει ἐπὶ κύριον καὶ ἐν τῷ
» ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ.
Ἐν ἁπάσαις φησὶ ταῖς γενεαῖς ἀοίδιμος

ἔσαι καὶ πολυθρύλητος τὸ σὸν αὐτῷ εὐ=
χηκεν παρά σου παρρησίαν τὸ γὰρ
μετὰ τοῦ προσώπου σου παρὰ τὸ
προσώπου σου τέθεικεν ὁ σύμμα=
χος ἕξει τοίνυν συνεχῆ θυμηδίαν
τοῦ προσώπου τοῦ τε ἐπὶ τῆς σῆς
εὐμενείας τυγχάνω ἄλλον δὲ τοῦτο
αὐτὸ γέγονεν τὸ ἐπὶ σοὶ πεποιθέναι
τοῦτο γὰρ ἐπήγαγεν ὅτι ὁ βασι=
λεὺς ἐλπίζει ἐπὶ τὴν κρείττων ἐπὶ
τῶν πολεμούντων τῆς σῆς χάριτος
ἀπολαύσω ἀπολαύει ταύτης ἀνθρώ=
πω μὲν οὐδενὶ θαρρῶν τῇ δὲ σῇ
ἐλπίδι μόνῃ στερεούμενον:
» εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθ=
» ροῖς σου ἡ δεξιά σου εὕροι πάντας
» τοὺς μισοῦντάς σε

" μισοῦντάς σε.
Εὑρεθείη ἡ χείρ σου· τοῦτο πάλιν σα-
φέστερον ὁ Σύμμαχος εἴρηκε· κα-
ταλήψεται ἡ χείρ σου πάντας τοὺς
ἐχθρούς σου· ἡ δεξιά σου εὑρήσει
πάντας τοὺς μισοῦντάς σε. ἔχεται
δὲ τῆς ἀκολουθίας τὰ εἰρημένα·
οὐ μάτην γάρ φησι βασιλεὺς τῇ
σῇ ἐλπίδι τεθάρρηκεν· ἀλλ' εἰδὼς
ὡς τῶν πολεμίων ἁπάντων κρείτ-
των ἡ σὴ δεξιὰ καὶ τοὺς τε ταχύτατα
τοὺς καταλήψεται τοὺς τε δυνατω-
τάτους καταλύσαι δυνήσεται. δε-
ξιὰν δὲ πάλιν καὶ χεῖρα τὴν ἐνέρ-
γειαν φησί.
Ὅτι θήσεις αὐτοὺς εἰς κλίβανον πυρὸς
εἰς καιρὸν τοῦ προσώπου σου κύριε

” κ̅ς ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς

” καὶ καταφάγεται αὐτοὺς πῦρ· τὸν

” καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπο-

” λεῖς καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ

” υἱῶν ἀνθρώπων ὅτι ἔκλιναν εἰς

” σὲ κακά

Ῥᾷόν σοι φησὶν κυβέρνου δίκω ἐξά-
ψαι αὐτοὺς καὶ πυρὶ καταναλῶσαι
καὶ αὐτοὺς αὐτῶν ἐκγόνους τούτους
γάρ φησι καὶ σπέρμα καὶ καρπὸν
τὸ δὲ εἰς καιρὸν τοῦ προσώπου σου
ἀντὶ τοῦ ἐν τῷ τῆς ὀργῆς σου καιρῷ
εἴ γαρ τοῦτο δοκιμάσῃς γενέσθαι
τὸ δὲ ὅτι ἔκλιναν ἐπειδὴ κατὰ σοῦ
βλασφήμοις λόγοις ἐχρήσαντο
καὶ γλῶτταν κατὰ σοῦ ἐκίνησαν.

” Διελογίσαντο βουλὰς αἷς οὐ μὴ δύ-

νωνται

» δύνωνται στῆναι.
Ἔννοια τῶν ἀντιγράφων αἱ οὐ μὴ δύνωνται στῆσαι· ὁ δὲ σύμμαχος οὕτως εἴρηκεν· ἐλογίσαντο ἐννοίας ἀδυνάτους· ἀντίτεινειν δὲ διὰ τούτων ταῖς τοῦ ἀσυνείου βλασφημίαις.
» Ὅτι θήσεις αὐτοὺς νῶτον
Ὁ σύμμαχος· θήσεις αὐτοὺς ἀποστρόφους· τοὺς γὰρ τὸν διάβολον φυγόντας ὄλεθρον εἰς φυγὴν ἔτρεψε προ= επήκοος δὲ ταῦτα φησὶ ὁ προφήτης ὡς οὕτω γενόμενα
» Ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις
» τὸ πρόσωπον αὐτῶν
Ταῖς γὰρ ὑπολοίποις σου τιμωρίαις ἐπαγαγεῖν αὐτοῖς ἀπείλεσοι καὶ ῥᾴδιον καὶ ταῖς δοκοῦντα διεπεφευγέναι ἀποστρέψαι καὶ κολάσαι σοι δυνατόν.

[illegible]

[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]

» Ὑψώθητι κέ ἐν τῇ δυνάμει σου ᾄσο=
» μεν καὶ ψαλοῦμεν τὰς δυναστείας
» σου

Ὁ ταπεινὸς ὢν ὁ δαδ ὕψωσιν οὐ δοῦμαι ἔ=
χει προσλαμβάνει ἀλλ' ὃ ἔχει δείκ=
νυσι εἰκὸς τοίνυν φησὶ ὑψώθητι:

» Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς
» ἑωθινῆς ψαλμὸς τῷ δαδ.

Ὅλος ὁ ψαλμὸς προαγορεύει τοῦ δεσπό=
τη χῦ τὰ πάθη καὶ τὴν ἀνάστασιν ×
× καὶ τῆς οἰκουμένης τὴν σωτηρίαν
καὶ γὰρ ἡ ἐπιγραφὴ τοῦτο δηλοῖ ἀν=
τίληψις γὰρ ἑωθινὴ τοῦ σωτῆρος
ἡ ἐπιφάνεια ἡ δίκην ὄρθρου τοῖς
ἐν σκότῳ λάμψασα φῶς γὰρ ἀλη=
θινὸν ὁ δεσπότης ἀνίσχον δὲ τὸ
φῶς τοῦ ὄρθρου ἀπολεῖται οὗ φα
νέντος ἐλύθη τὸ σκότος εἰς αὐτοῦ

× καὶ τῶν ἐθνῶν τὴν κλῆσιν ×

εἰς αὐτὸ

εἰς αὐτοῦ τοίνυν εἰρηκότος ὁ ψαλ-
μὸς πιστευτέον γὰρ μᾶλλον τῷ
σωτῆρι καὶ τοῖς ἀποστόλοις χρω-
μένοις τῷ προοιμίῳ τοῦ ψαλμοῦ
ἢ τοῖς παρ' ἑρμηνευταῖς :

Ὁ θεὸς ὁ θεός μου πρόσχες μοι ἵνα τί ἐγ-
κατέλιπές με

Τῷ οἰκείῳ προσηλωμένος ταύτην ὁ Χ(ριστό)ς
προσῆπτε τὴν φωνὴν ἐγκατάλη-
ψιν δὲ καλεῖ οὐ τὸν τῆς ἡνωμένης
θεότητος χωρισμὸν ἀλλὰ τὴν τοῦ
πάθους συγχώρησιν ἡ γὰρ θεότης
παρῆν τῇ ἀνθρωπότητι καὶ παροῦ-
σα συγχωροῦσα παθεῖν τὴν σάρκα
διὰ τὴν ἡμῶν σωτηρίαν αὐτὴ δὲ
πάθος οὐκ εἰσεδέχετο ταῦτα δὲ ὡς
ἄνθρωπος φησὶν ὁ Χ(ριστό)ς ἐπειδὲ ἅπαξ

χη.

τῆς ἀνθρωπίνης φύσεως τῶ ὑπὲρ ἁπά-
σης τῆς φύσεως ἐν τοῖς ἐπανωμέ-
νοις ποιεῖται τὸν λόγον ἐπὶ ἀλύσαι
βραχὺ τηλουμένου σύμμαχος δὲ οὐδὲ
μόνιμου θεοσδωτήτων βοηθούμενου;
Μὴ μὴ ἀποστρέψῃς φησὶ εἰς τὰ τῆς φύ-
σεως πλημμελήματα ἀλλὰ δὸς τὴν
σωτηρίαν διὰ τὰ ἐμὰ πάθη ἁμαρτί-
αν δὲ ὁ Χριστὸς ἤκουσεν καὶ κατά-
ραν δίκην ἐπόλως δεῶν καὶ τοῖς ὑπὲρ
ἡμῶν ἐχρήσατο λόγοις:
,, Ὁ θεός μου κεκράξομαι ἡμέρας καὶ εἰσα-
,, κούσῃ καὶ νυκτὸς καὶ οὐκ εἰς ἄνοι-
,, αν ἐν ἐμοί:
Οἱ τρεῖς νυκτὸς καὶ οὐ στιγμὴ ἐπειδὴ τὸ
πάθος ἀνθρωπίνως οἰκονομῶν πολ-
λάκις προσηύξατο παρελθεῖν τὸ
ποτήριον διὰ τοῦτο φησὶ ὅτι νυκτὸς

νυκτὸς

φύκλος καὶ μεθ᾽ ἡμέραν εὐχομένου
ἄλλ' ὅμως ὁ σαλητὲ οἰκονομίαι μυστή=
ριον τοῦτο γάρ ἐπὶ τό οὐκ εἰς ἄνοι=
αν ἐμοί:
" Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τοῦ
" ἰηλ:
Καὶ τὸ παράδοξον ὅτι σοῦ ἐν τῷ ἁγίῳ
σώματι κατοικοῦντος ἐνέργειαν τὸ
πάθος ἔπενον δὲ ὡς ὑπὸ τῶν θε=
ραπόντων ὑμνουμένοις αὐτοῦ κα=
λεῖ τὸν θῦ ἀντὶ γάρ τοῦ ἔπαινος
ὕμνος οἱ ἄλλοι φησί.
" Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν
" ἤλπισαν καὶ ἐρρύσω αὐ=
" τοὺς πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώ=
" θησαν ἐγὼ εἰμὶ σκώληξ καὶ οὐκ
" ἄνος ὄνειδος ἀνθρώπων καὶ ἐξου=
" θένημα λαοῦ πάντες οἱ θεωροῦν=

τεσμε

ἐξεμυκτήρισάν με:

Καίτοι οἶδα ἀπὸ. ὡς πάντες οἱ πατέ-
ρες εἰς σὲ ἐλπίσαντα οὐκ ἐψεύ-
σθησαν. ἐγὼ δὲ ἄνελπις ὤφθην
καὶ καταγέλαστος ἐγενόμην τινὲς
δὲ διὰ τοὺς κώλυκος τὴν ἐκ παρ-
θένου γέννησιν νενοήκασι καθὸ
οὐδὲ οὗτος ἐκ συνουσίας γίνεται
ἐγὼ δὲ τὴν ἀτέλειαν μόνω νοῶ
διὰ τὰ ἐπαγόμενα πάντα γὰρ
φησὶ οἱ θεωροῦντές με:

” Ἐλάλησαν μυκτηρισμὸν ἐν χείλεσι
” ἐκίνησαν κεφαλὴν ἤλπισε ἐπὶ κύ-
” ριον ῥυσάσθω αὐτὸν σωσάτω αὐτὸν ὅτι
” θέλει αὐτὸν ὅτι σὺ ὁ ἐκσπάσας με
” ἐκ γαστρός μου

Ταῦτα πάντα ἐκ τῶν ἱερῶν εὐαγγελίων
ἐμάθωμεν καὶ λέγεσθαι καὶ πρά-

τεσθαι

πεάζεσθαι ὑπὸ Ἰουδαίων τοῦ κυρίου τοῦ προ

προσηλωμένου:

" Ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός

" μου θεός μου εἶ σὺ ἐπὶ σὲ ἐπερρί-

" φην ἐκ μήτρας ἀπὸ γαστρὸς

" μητρός μου θεός μου εἶ σὺ

Ταῦτα ὁ θεῖος Δαβὶδ ἐκ προσώπου Χριστοῦ φησὶ κατὰ τὸ ἀνθρώπινον καὶ Ἠσαΐας δὲ περὶ αὐτοῦ φησὶ πρὶν ἢ γνῶναι αὐτὸν ἀγαθὸν ἢ κακὸν ἀπειθεῖ πονηρίᾳ τοῦ ἐξελέξασθαι τὸ ἀγαθόν

" Μὴ ἀποστῇς ἀπ' ἐμοῦ ὅτι θλίψις

" ἐγγὺς ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μου

Καὶ γὰρ καὶ ὁ τῶν μαθητῶν αὐτῶν καταλέλοιπε χορὸς εἶτα φησὶ τῆς θλίψεως τὰ εἴδη:

» Περιεκύκλωσάν με μόσχοι πολλοί
» ταῦροι πίονες περιέσχον με
» ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν
» ὡς λέων ἁρπάζων καὶ ὠρυόμε-
» νος·

Ταύρους λέγει τοὺς ἱερέας καὶ γραμ-
ματεῖς ὡς πολὺ θρασύτητι κεχρη-
μένους μόσχους δὲ τοὺς τὸν λα-
ὸν πίονας δὲ αὐτοὺς φησὶ ὡς τοῖς
ὑπ' αὐτοῦ χορηγηθεῖσιν ἐντρυφή-
σαντα ἀγαθοῖς κατὰ τὸ ἐλιπάν-
θη ἐπαχύνθη καὶ ἐγκατέλιπεν θεὸν
» ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορ-
» πίσθη πάντα τὰ ὀστᾶ μου

Ὀστᾶ καλεῖ τοὺς ἱεροὺς ἀποστόλους
ἐπεὶ καὶ σώματος τῆς ἐκκλησίας
ἰσχὺς δὲ σώματος τὰ ὀστᾶ ἀπὸ

ἀπὸ

ἀπὸ τούτων γὰρ τὸ ρευστὸν καὶ δια=
ρέον τοῦ σώματος φέρεται· ἐσ=
κορπίσθη δὲ ἅπαντα κατὰ τὸν
καιρὸν τοῦ πάθους διὰ κωλύμα=
τος τῆσδε κακίας διαρρηθέντα·
Ἐγεννήθη ἡ καρδία μου ὡσεὶ κη=
ρὸς τηκόμενος ἐν μέσῳ τῆς
κοιλίας μου· ἐξηράνθη ὡς ὄστρα=
κον ἡ ἰσχύς μου καὶ ἡ γλῶσσά
μου κεκόλληται τῷ λάρυγγί μου
καὶ εἰς χοῦν θανάτου κατηγα=
γές με
Καὶ ταῦτα πάντα γεγένηται παρὰ τὸν
τοῦ πάθους καιρὸν· ἡ καρδία μου
μὲν γὰρ τῇ δειλίᾳ ὡς εἰ κηρὸς
τῷ πυρὶ διελύθη καὶ ἡ ἰσχύς
τὴν προτέραν ἐνέργειαν οὐκ ἐδέχ
μυ

ἔδειξεν καὶ μέντοι καὶ ἡ χ(ριστο)ῦ γλῶσ
σα μου ἀκίνητος ἔμεινε καὶ δι-
δάσκουσι ἡμᾶς οἱ θεσπέσιοι εὐαγγ(ελισ)
ταί· ὅτι πολλάκις ἐρωτηθεὶς
οὐδὲν ἀπεκρίνατο εἶτα μετὰ
τοὺς ἰουδαίους τοῦ ἐθνικοῦ μνη-
μονεύει σταυροῦ τούτοις γὰρ αὐτὸν
ἐκεῖνοι παρέδωσαν τὸ δὲ εἰς
χοῦν θανάτου τὴν ταφὴν σημαί-
νει· ἅτε δηλουμένων τῶν θαπτο-
μένων:

„ ὅτι ἐκύκλωσάν με κύνες πολλοί
„ συναγωγὴ πονηρευομένων περιέ-
„ σχον με,

Οἰκότως ταύρους τοὺς ἰουδαίους
κύνας δὲ τοὺς ἐξ ἐθνῶν φησί·
οἱ μὲν γὰρ ὑπὸ τοῦ νόμου ζυγὸν
ᾖσαν· εἰ καὶ προφανῶς τὸν νόμον

νόμον

νόμον παρέβαινον οἱ δὲ κατὰ τὸν
νόμον ἦσαν ἀκάθαρτοι, διὸ καὶ
ὁ κ̄ε τὴν χαναναίαν οὕτως προ=
σηγόρευσε
Ὤρυξαν χεῖράς μου καὶ πόδας μου
ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου
Τόσω με φησὶ διέτειναν προσηλοῦντες
ὕστερον ἐὔκολον εἶναι, τῶν βουλομέ=
νων καὶ τὸν τῶν ὀστῶν ἀριθμὸν
ἀριθμῶναι
Αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με
Ἀντὶ τοῦ ἐπιτωθάζοντες καὶ γελῶντες
Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς
καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον
κλῆρον
Καὶ τοῦτο σαφῶς ἡ τῶν ἱερῶν ἀγγε-
λίων ἱστορία διδάσκει
Σὺ δὲ κ̄ε μὴ μακρύνῃς τὴν βοηθει=
άν σου ἀπ' ἐμοῦ εἰς τὴν ἀντίληψίν
μου

» πρόσχες ῥῦσαι ἀπὸ ῥομφαίας τὴν
» ψυχήν μου καὶ ἐκ χειρὸς κυνὸς
» τὴν μονογενῆ μου σῶσον με ἐκ
» στόματος λέοντος καὶ ἀπὸ κερά-
» των μονοκερώτων τὴν ταπείνω-
» σίν μου.

Ἐπειδή φησι οὐδεμίαν ἔχω ἀνθρω-
πίνην βοήθειαν τῆς σῆς ἀντιλήψε-
ως τύχοιμι καὶ εὐθεῖαν ἀπό τε
τούτων. ἀπό τε τῶν διάυτων ἐνερ-
γούντως καὶ δῆλον κυνὸς καὶ λέ-
οντος ἐπιόντι· λέοντα γὰρ καὶ κύνα
καὶ μονοκέρατον τὸν τὸ κράτος
ἔχοντα τοῦ θανάτου ἀπόσχομ
τουτέστι τὸν διάβολον ὃς καὶ παρὰ
τὸν τοῦ πάθους καιρὸν θρασὺς
αὐτῷ δῆλον ἐπῆλθεν τὸν θάνατον
ἐπαγόμενος οὕτω καὶ ὁ κύριος φησι

φησὶ

φησί· ἔρχεται ὁ τοῦ κόσμου ἄρχων
καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν· ἀλλ' ὅ=
μως καὶ μηδὲν εὑρὼν ὧν ἐπεζή=
τει τουτέστι τῆς ἁμαρτίας τοὺς νό=
μους ἀναιδῶς καὶ λίαν ἀδίκως
τῷ θανάτῳ παρέδωκε· αὐτὸς δὲ
ὑπέσχετο λῦσαι τὸ κοινὸν μηχα=
νόμενος θάνατον

Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελ=
φοῖς μου ἐν μέσῳ ἐκκλησίας ὑμνή=
σω σε

Κἀντεῦθεν δῆλον ὡς ἀνθρωπίνως
ταῦτα ἐφθέγγετο ἅτε δὴ καὶ ἀνθρω=
πίνως ἅπερ ἔλεγε· ἀδελφοὺς γὰρ
καλεῖ τοὺς εἰς αὐτὸν πεπιστευκό=
τας. ἀδελφοὺς δέ φησι ὡς ἀνθρώ=
που· ὡς γὰρ θεὸς δεσπότης καὶ κύριος
ὡς δὲ ἄνθρωπος καὶ ἀδελφός

ὀνόμασαι. οὕτω καὶ μονογενὴς ὢν
πρωτότοκος δὲ διὰ τῶν κατὰ σάρκα
ὡς φησὶ ὁ ἀπόστολος πρωτότοκος
ἐν πολλοῖς ἀδελφοῖς δι᾽ αὐτῶν σε
οὕτω ὑμνήσω φησὶ διηγησάμενος
τὸν σὸν ὄνομα εἶτα πληροῖ τὴν
ὑπόσχεσιν

" Οἱ φοβούμενοι τὸν κύριον αἰνέσατε
" αὐτὸν ἅπαν τὸ σπέρμα ἰακὼβ δο-
" ξάσατε αὐτόν φοβηθήτω δὴ ἀπ-
" αὐτοῦ ἅπαν τὸ σπέρμα ἰσραήλ.

Ἐπειδὴ ἐκκλησίαν καὶ ἐξ ἰουδαίων καὶ
ἐθνῶν συνέστηκεν ἀμφοτέρους
εἰς ὕμνον ἐγείρει τοὺς μὲν ἀπὸ τοῦ
προπάτορος ὠνόμαζον τοὺς δὲ
ἀπὸ τῆς ἀρετῆς ἔθος δὲ τοῦτο
καὶ ἰουδαίοις τοὺς ἐξ ἐθνῶν τὸ
νόμῳ προσιόντα οὕτως ὀνομάζειν

ὡς

ὡς μαρτυρεῖ πέτρος. λέγει ἄνδρες
ἰσραηλῖται καὶ οἱ ἐν ὑμῖν φοβούμε-
νοι τὸν θεόν
ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχ-
θισε τῇ δεήσει τοῦ πτωχοῦ οὐδὲ
ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ
ἀπ᾽ ἐμοῦ καὶ ἐν τῷ κεκραγέναι με
πρὸς αὐτὸν εἰσήκουσέ μου
Ὑμνήσατε φησὶ τὸν αἴτιον τῆς σω-
τηρίας ταύτης ὑμῶν γενόμενον
τὸν τὴν ἀθλεστάτην ὑμῶν φύσιν
οὐκ ἀνεσχόμενον παριδεῖν ἀλλ᾽ εἰ-
σακούσαντα καὶ διὰ τῆς ἐμῆς
ἀναστάσεως τὴν σωτηρίαν ὑ-
μῖν πραγματευσάμενον εἶτα πα-
ραδηλοῖ τὴν ὡς θεὸς ἔχει πρὸς τὸν
πατέρα ἰσότητα ἐπήγαγε γὰρ παρὰ
σοῦ ὁ ἔπαινος:

" Παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλη-
" σίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι
Ὥσπερ γὰρ ἐγὼ δηλοῦσι τοῖς ἀνθρώ-
ποις ποιῶ· οὕτω καὶ σὺ πάντας ἀν-
θρώπους διδάξεις τὴν αὐτήν μοι
προσφέρειν τιμήν. νῦν μὲν λέ-
γει ἐπ᾽ ὄντως ἔσαι οὖσα - νῦν
δὲ καὶ ἐδόξασα καὶ πάλιν δοξά-
σωσε
" Τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον
" τῶν φοβουμένων αὐτόν
Εὐχὰς ἐνταῦθα οὐ τὰς προσευχὰς ἀλ-
λὰ τὰς ὑποσχέσεις ἐπεὶ δὲ ὑπεσ-
χέτο διὰ τῶν εἰς αὐτὸν πιστευόντων
ὕμνον προσφέρειν σαφέστερον
ἐν ταῦτα φησὶ ὅτι ταῖς ἐπαγγελίαις
ἐπιθήσω τὸ πέρας
" Φάγονται πένητες καὶ ἐμπλησθή-
σονται

" ἐμπλησθήσονται καὶ αἰνέσουσι κύριον

" οἱ ἐκζητοῦντες αὐτόν:

Πένητες τοὺς ἐξ ἐθνῶν λέγει πιστεύ=
σαντας ὡς πάλαι τῆς ἀσεβείας
οὐκ ἐσχηκότας τὸν πλοῦτον τοῦ=
τους ἅτε δὴ πινῶντας ἐμπλησθή=
σεσθαι λέγει τῆς ἀθανάτου τροφῆς

" ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα

" αἰῶνος

Καὶ γὰρ ἔτι φθαρτὸν ἔχομ(εν) τὸ σῶμα,
τῇ ἐλπίδι ψυχαγωγούμενοι τὴν ζωὴν
προσμένουσι τὴν αἰώνιον:

" Μνησθήσονται καὶ ἐπιστραφήσονται

" πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς

Καλῶς τὸ μνησθήσονται· ὑπὸ γὰρ τοῦ
θεοῦ τὸ εἶναι λαβόντες ἐπελάθοντο
τοῦ δημιουργοῦ

" Καὶ προσκυνήσουσι ἐνώπιον αὐτοῦ

" πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν

Ἐκ πάντων τῶν κατὰ τὴν οἰκουμένην
ἐθνῶν φησὶ πιστεύουσι:
» Ὅτι τοῦ κῦ ἡ βασιλεία καὶ αὐτὸς δεσ=
» πόζει τῶν ἐθνῶν:
Οἱ γὰρ τῆς θείας πληρωθέντες τροφῆς
χάριν ὁμολογοῦντες προσκυνήσου=
σι τῷ θῷ· τούτους γάρ φησι πίονας:
» Ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες
» οἱ καταβαίνοντες εἰς γῆν
Μετὰ γὰρ τὴν ἐκ νεκρῶν ἀνάστασιν
καὶ ἄκοντες οἱ μὴ πιστεύσαντες
προσκυνήσουσι· τούτους γάρ φησι
καταβαίνοντας εἰς γῆν
» Καὶ ἡ ψυχή μου αὐτῷ ζῶ ἀλλοῦ δουλε=
» υει ἑτέρωπην καὶ τὸ σπέρμα μου
» δουλεύσει αὐτῷ
Σπέρμα τοῦ χῦ οἱ διὰ πίστεως τῆς υἱο=
θεσίας ἀξιωθέντες διὸ δὴ τὴν μὲν

μεν

τὴν μὲν αὐτοῦ ψυχὴν αὐτῷ ζῆν ἀλλ' οὐ
δουλεύειν εἰρηκὼς τὸ σπέρμα μου
δουλεύσειν· ἡ γὰρ ληφθεῖσα φύσις
ἡνώθη τῇ λαβούσῃ θεότητι· καὶ
τῆς αὐτῆς δόξης μετείληφε καὶ
τιμῆς.

» Ἀναγγελήσεται τῷ κῳ γενεὰ ἡ ἐρχο-
» μένη καὶ ἀναγγελοῦσι τὴν δικαιο-
» σύνην αὐτοῦ λαῷ τῷ τεχθησομέ-
» νῳ ὃν ἐποίησεν ὁ κς.

Οὐ περὶ ταύτης φησὶ τῆς γενεᾶς καθ' ἣν
ἐγὼ ὁ Δαδ ταῦτα προαγορεύω ἀλ-
λὰ περὶ τῆς ἐσομένης καὶ τοῦ τεχ-
θησομένου λαοῦ ὃν αὐτὸς ὁ τῶν
ὅλων κς ἐδημιουργήσατο· θρηνῶ τὰ
αὐτοῖς νῦν τῶν Ἰουδαίων ἐμβρόν-
τησιν ὅτι τοῖς θείοις λογίοις διη-
νεκῶς

διηνεκῶς ἐντυγχάνοντας τῶ ἐν τούτοις
διαλάμπουσαν οὐ σκιογραφῶν ἀλη-
θειαν. ἀλλ' τῆς τὸν δαδ εἰρῆσθαι
τὸν ψαλμὸν ἀποφαίνοντας:

„ Ψαλμὸς τῷ δαδ - κβ,

Ἄδεται ὁ προκείμενος ψαλμὸς ἐκ
προσώπου τῶν ἐθνῶν ἀγαλλο-
μένων ἐπὶ τὸ ποιμανθῆναι ὑπὸ τοῦ
χῦ καὶ μετὰ καὶ τὴν μυστικὴν εὐω-
χίαν ἐξηγοῦντας

„ Κς ποιμαίνει με καὶ οὐδέν με ὑστε-
„ ρήσει

Τὴν αὐτὴν ἔχει καὶ ταῦτα τοῖς προερμη-
νευθεῖσιν διάνοιαν ἀλληγορικῶς γὰρ ἐπι-
φατόντας πένητας ὑποδείκνυσι
ἐνταῦθα τὸν τῆς τοιαύτης τροφῆς
χορηγόν, καὶ καλεῖ αὐτὸν ποιμέ-

να

ποιμένα ἅπαντες ὅπου οἱ τῆς σωτη=
ρίου τροφῆς ἀπολαύσαντα βιῶσιν
τέ ποιμαίνει με καὶ οὐδέ με ὑστε=
ρήσει:

„ Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν
Ἐπειδή φησι ποιμαίνα τοῦτον ἀγαθὸν
χρηστὸν ἐπιμελῶς ἐπιμαίνη τῇ τροφῇ
χλόην δὲ ἐν ταῦθα τὴν τῶν θείων λο=
γίων διδασκαλίαν

„ Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέν=
με
Τὸ τῆς παλιγγενεσίας ὕδωρ αἰνίττεται
„ Τὴν ψυχήν μου ἐπέστρεψεν ὁδήγη=
„ σόν με ἐπὶ τρίβους δικαιοσύνης:
Ἐμοί φησί μεδέδωκε τῆς πλάνης ἐλευ=
θερώσας με καὶ τὴν εὐθεῖαν πα=
ρασκευάσαι ὁδεύειν ὁδόν:

„ Ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ
Ταῦτα τῆς αὐτοῦ δῶρα οὐ διὰ τὴν ἡμε=
τέραν

ἡμετέραν ἀρετήν.

» Ἐὰν γὰρ πορευθῶ ἐν μέσῳ σκιᾶς
» θανάτου οὐ φοβηθήσομαι κακά
» ὅτι σὺ μετ' ἐμοῦ εἶ

Τοιοῦτον δὲ ἔχω ἐπίκουρον· οὐδὲ αὐταὶ
δείσει τοῦ θανάτου ταὶ πύλαι

» Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου αὐ-
» ταί με παρεκάλεσαν

Ἡ με ὑπὲρ ἔσθημου τὴν ἀσθένειαν. μή-
δὲ ποδηγεῖ με πρὸς ζωὴν ἅ ἐστι ἡ-
τοῦ σωτηρίου σοῦ σφραγὶς καὶ
μνήμη:

» Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ
» ἐναντίας τῶν θλιβόντων με ἐλίπα-
» νας ἐν ἐλαίῳ τὴν κεφαλήν μου καὶ
» τὸ ποτήριόν μου θήσχον με ὡσεὶ κρά-
» τιστον:

Ἴσασιν οἱ μεμυημένοι ταῦτα καὶ τὸ
ἔλαιον οὗ τὴν κεφαλὴν ἐπαλείφουσι
καὶ τὴν κραταιώσασα ἄλλου διαλύου

σα

διαληπούσα μέσθω καὶ τὴν μυστικὴν
τῆς θείας τραπέζης τροφὴν ἀχώρας
βλέποντας οἱ δυσμενεῖς ἀνιοντος ὅ=
σης οἱ δοῦλοι μεταβολῆς τετυχήκασι
Καὶ τὸ ἔλεός σου καταδιώξεισμε πάσας
τας ἡμέρας τῆς ζωῆς μου καὶ τὸ κα=
τοικεῖν με ἐν οἴκω κυ εἰς μακρότητα=
ἡμερῶν
Τούτων πρόξενος τῶν ἀγαθῶν ἡ ἄφατος=
σου φιλανθρωπία οὐκ ἀμείνασα
ἱκεσίαν. ἀλλὰ οἱονοὶ φεύγοντας ἡμᾶς
καταδιώξασα καὶ μεταδοῦσα τῆς
σωτηρίας καὶ τοῖς ἐν τοῖς θείοις οἴκοις
παρασχοῦσαν διαγωγὴν ἐν τῷ πα=
ρόντι βίω καὶ ἐν τῷ μέλλοντι τοῦ=
το γὰρ παρεδήλωσε εἰπ. εἰς μακρό=
τητα ἡμερῶν :
Ψαλμὸ τῷ δαδ τῆς μιᾶς σαββάτων

Οὗτος ὁ ψαλμὸς τὴν δεσποτικὴν ἀνάστασιν προσημαίνει μεθ' ἣν πᾶσα γῆ τε καὶ θάλασσα τὰς τῆς θεογνωσίας ἀκτῖνας ἐδέξατο διὸ καὶ τῇ μιᾷ τῶν σαββάτων φησὶ πρὸς τούτῳ τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ δεσπότου προλέγει:

Τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ

Ἐπειδὴ Ἰουδαῖοι μόνων αὐτῶν δεσπόζειν ἐνόμιζον καὶ προμηθεῖσθαι τὸν θεὸν εἰκότως φησὶ ὁ προφήτης πάσης γῆς δεσπόζειν οὐχ ἁρπάσαντα οὐδὲ σφετερίσαντα ταύτην τινὰ αὐτὸς δὲ ταύτην ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγόντα

Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν καὶ ἐπὶ τὸν ποταμὸν ἡτοί

μασεν

ἑτοίμασεν αὐτῷ
Φύσει γάρ οὖσα ξηρὰν τὴν γῆν ἀναλογοῦ=
σα νοτίδα δεδώρηται οὕτω τοῦ θεοῦ τὴν
πρόνοιαν καί τὴν δημιουργίαν δεί=
ξαι τὴν τῆς ἀρετῆς προσφέρει παράγ-
γελσιν εἰς ἐρώτησιν καί ἀπόκρισιν
σχηματίσας τὸν λόγον

" Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυ ἤ
" τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ:

Ὄρος τὸ ἐπουράνιον φησί δείκνυσι γάρ
εὐκόλως τὴν πρός τὸν δημιουργὸν
ὁδὸν φέρουσα

" Ἀθῶος χερσί καί καθαρὸς τῇ καρδίᾳ ὅς
" οὐκ ἔλαβε ἐπί ματαίῳ τὴν ψυχὴν αὐ=
" τοῦ καί οὐκ ὤμοσε ἐπί δόλῳ τῷ
" πλησίων αὐτοῦ οὗτος λήψεται εὐλο-
" γίαν παρά κυ καί ἐλεημοσύνην
" παρά θυ σωτῆρος αὐτοῦ:

Προσήκει φησί τό ἐκεῖ ἀναβῆναι ποθοῦν

καὶ χορειῶν ἀτόπων καθαρεύειν καὶ
πράξεων· διὰ γὰρ τῶν χειρῶν τὰς
πράξεις, διὰ δὲ τῆς καρδίας τὰς ἐν-
θυμήσεις ἠνίξατο· καὶ μηδενὸς προ-
σόντων ἐφίεσθαι. ταῦτα γὰρ ἐστὶ
μάταια· ἐπειδὲ δόλος καὶ παραβα-
σις ὅρκων τῇ φιλοχρηματίᾳ συνέ-
ζονται, ἐκβάλλει καὶ ταῦτα. κομιδῇ
δὲ προσφυῶς τῇ εὐλογίᾳ τῇ ἐλεημο-
σύνῃ συνέζευξε· διὰ γὰρ μόνην τὴν
φιλανθρωπίαν δίδοται τὰ ἀγαθὰ τοῖς
ἀνθρώποις.

״ Αὕτη ἡ γενεὰ ζητούντων τὸν κύριον, ζητού-
״ των τὸ πρόσωπον τοῦ θεοῦ Ἰακώβ.

Οἱ κατὰ ταύτας τὰς ὑποθήκας βιοῦν
προαιρούμενοι, φησὶ, τῷ ὄντι ποθοῦ-
σι τῆς ἀρετῆς τὸν νομοθέτην ἰδεῖν·
καὶ πῶς ἐν τῷ ιά ψαλμῷ, σὺ κύριε
φυλάξαις ἡμᾶς ἔλεγε ἀπὸ τῆς γενε-

γενεᾶς

γενεᾶς ταύτης. ἐνταῦθα δὲ αὕτη ἡ γε=
νεὰ ζητούντων τὸν κν̄ ὅτι ἐκεῖ μὲν
περὶ τῆς πονηρίας συζώσης φησὶ
ἐνταῦθα δὲ περὶ τῆς μετὰ τὴν ἐ=
νανθρώπησιν τοῦ χῦ καταλιπούσης
τοὺς πατρώας θεοὺς καὶ μόνον ζη=
τούσης τὸν τοῦ ἰακὼβ θν̄:

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ
ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσε=
λεύσεται ὁ βασιλεὺς τῆς δόξης κς̄
κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ
ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ
ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύ=
σεται ὁ βασιλεὺς τῆς δόξης κς̄ τῶν
δυνάμεων αὐτός ἐστι ὁ βασιλεὺς
τῆς δόξης:

Ἐπειδὴ ὁ κ̄δ̄ ψαλμὸς τὰ σωτήρια πάθη
προεθέσπιζεν. εἰκότως ἐνταῦθα

τὴν ἀνάληψιν ζωγραφῇ καὶ δείκνυσιν
ἀγγέλων χορούς τοὺς μὲν κάτωθεν ἡ=
γουμένους χῦ τοὺς δὲ ἄνωθεν ἐ=
φιεμένους μαθεῖν τί τὸ παράδοξον
θέαμα βασιλέα τοίνυν τῆς δόξης
αὐτοῦ καλεῖ ὡς διηνεκῆ καὶ μόνι=
μον ἔχοντα τὴν βασιλείαν καὶ πα=
ρὰ πάντων δοξαζόμενον κραται=
ὸν καὶ δυνατόν. ὡς τὸ πικρὸν κα=
ταλύσαντα τύραννον οὐρανίους δὲ
πύλας ὡς μηδέποτε τὴν φύσιν τῶν
ἀνθρώπων ὑπανοιγέσθαι οὐδεὶς
γὰρ ἐκείνας τῶν ἀνθρώπων ἐπε=
ράσε πώποτε εἰ μὴ ὁ ἐνανθρωπήσας
θεὶ λόγος ὡς τὴν ἀπαρχὴν ἡμῶν
ἐπάνω θαυμαζέτω μηδὲ πάσης
ἐκάθισε ἀρχῆς ὁ δὲ ἠλίας ὡς εἰς
τὸν οὐρανὸν ἀνῆλθε καὶ θαυμαζέτω

μηδὲ

μηδὲ εἴρηται ἀκούων τῶν οἰκείων
δυνάμεων· θεὸς γὰρ μόνος ἔχει τὴν
πᾶσαν γνῶσιν· αὐταὶ οὔτε προσία=
σιν οὐκ ἴσασιν ἅπαντα ἀλλὰ το=
σαῦτα ὅσα διδάσκονται· καί φησιν
Παῦλος ἵνα γνωρισθῇ ἐν ταῖς ἀρ=
χαῖς καὶ ταῖς ἐξουσίαις.

Ψαλμὸς τοῦ Δαδ. κδ΄.

Ὁ ψαλμὸς οὗτος προσευχῆς ἔχει σχῆμα·
διὸ καὶ ὡς εἰκὸς οὐδὲ ψαλμὸν τοῦτον
ἡ ἐπιγραφὴ προσαγορεύει· εἴρηται δὲ ὑπὸ
τοῦ θείου Δαδ τηνίκα πολλαὶ εἶχον πο=
λέμων ἐπαναστάσεις· διὸ καὶ παλαιῶν
καὶ νέων ἁμαρτημάτων ποιεῖται μνή=
μην· ὧν λυτρωθῆναι παρακαλεῖ· εἰσποι=
εῖται δὲ καὶ παραίνεσιν ἀνθρώποις
ὠφέλιμον.

Πρὸς σὲ κε ἦρα τὴν ψυχήν μου ὁ θς μου ἐπὶ
σοὶ πέποιθα μὴ καταισχυνθείην εἰς

„ εἰς τὸν αἰῶνα μηδὲ καταγελασάτωσάν με
„ οἱ ἐχθροί μου μὴ καταισχυνθείην αὐτὸ τοῦ
μὴ διηνεκῶς ἐπίχαρτος οἷς πολεμίοις
γενημένω
„ Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ κα-
„ ταισχυνθῶσι
Ὑπομένοντας τοὺς εἰς θεὸν πιστεύοντας καὶ
ἐπ' αὐτὸν ἐλπίζοντας.
„ Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διὰ κε-
„ νῆς τὰς ὁδούς σου κύριε γνώρισόν μοι
„ καὶ τὰς τρίβους σου δίδαξόν με ὁ-
„ δήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου.
Σημειωτέον ὅτι οὐ τοὺς ἀνομοῦντας
ἀλλὰ τοὺς διακενῆς ἀνομοῦντας
αἰσχύνῃ ἀναπίπλασθαι φησί· οὐ
γὰρ πάντες πλημμελοῦσιν ὁμοίως· οἱ
μὲν γὰρ οἱ ἐκπεισθέντες τινὸς ἢ
ἐκ φυσικῆς ὀλισθαίνουσιν ἀσθενείας
οἱ δὲ καὶ ἐκδίδοντας τὰς παρανομί-

παρανομίαις

παρανομίαις καὶ ἐπίνοουσι ἐλέγξαι
" Καὶ δίδαξόν με ὅτι σὺ ὁ Θεὸς ὁ σωτήρ μου
" καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν
" μνήσθητι τῶν οἰκτιρμῶν σου Κύριε καὶ
" τὰ ἐλέη σου ὅτι ἀπὸ τοῦ αἰῶνος
" εἰσὶν

Διὰ τῶν πραγμάτων μανθάνομεν ὅτι σω-
τὴρ ὑπάρχεις ἐμός· τὴν γὰρ παράδοξον
φιλανθρωπίαν προσμένων διηνε-
κῶς τὸ γὰρ ὅλην τὴν ἡμέραν ἀεὶ
τέθεικεν·

" Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου
" μὴ μνησθῇς κατὰ τὸ ἔλεός σου μνή-
" σθητί μου σὺ ἕνεκεν τῆς χρηστότητός-
" σου Κύριε

Τῶν ἐν ἀγνοίᾳ, ὑποδοχολατρείαν ἔφανε τι-
νὲς τοῦ λαοῦ μὴ οὐχ ἐκείνων μνησ-
θῆναι τῶν ἁμαρτημάτων ἀλλὰ τῆς
σῆς φιλανθρωπίας διὸ καὶ τοὺς ἀγ-
νοοῦντας

φιλανθρωπίᾳ χρώμενος ἠλέησας
τῆς ἁμαρτίας τοίνυν τῆς ἐμῆς μη-
δόλως μνησθῇς ἐμοῦ δὲ μνημό-
νευσον φιλοστοργημόνως φησὶ καὶ
δικαίως τοῦτο γάρ ἐστι κατὰ τὸ ἔ-
λεός σου μνήσθητί μου σὺ ἕνεκεν
τῆς χρηστότητός σου κύριε:

" Χρηστὸς καὶ εὐθὺς ὁ κύριος:

Χρηστὸς καὶ εὐθὺς ἀντὶ τοῦ φιλάνθρωπος
καὶ δίκαιος ἐστιν

" Διὰ τοῦτο νομοθετήσει ἁμαρτάνον-
" τας ἐν ὁδῷ ὁδηγήσει πραεῖς ὁδοὺς
" αὐτοῦ πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος
" καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν δι-
" αθήκην αὐτοῦ καὶ τὰ μαρτύρια
" αὐτοῦ ἕνεκεν τοῦ ὀνόματός σου κύριε
" καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου πολλὴ
" γάρ ἐστιν

Τοῦτο σαφέστερον ὁ σύμμαχος φησί

διὰ τοῦτο

διατοῦτο ὑποδείξει ἁμαρτάνουσιν
ὁδὸν ἀγαθότητι χρώμενος οὐκ εὐθὺς
κολάζη τοὺς ἁμαρτάνοντας ἀλλὰ καὶ
τὴν εὐθεῖαν αὐτοῖς ὁδὸν ὑποδείκ-
νυσιν καὶ τῆς μετανοίας ἐκπετάζει
τὸν νόμον καὶ μὲν δὴ καὶ τοὺς πρα-
ότητι καὶ ἁπλότητι κεχρημένους
διακρίνειν διδάσκει τῶν πραγμά-
των τὴν φύσιν ἵνα μὴ ἐξόδιον
ἀγνοίας ἁπλότης γινομένη πολλὴν
τὴν βλάβην ἐργάσεται. διὸ πά-
σας αὐτοῦ τὰς οἰκονομίας εὐθείας
παρασκευάζει.

Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος
τὸν κύριον νομοθετήσει αὐτῷ ἐν ὁδῷ
ᾗ ἡρετίσατο ἡ ψυχὴ αὐτοῦ ἐν ἀγα-
θοῖς αὐλισθήσεται.

Ἐντεῦθεν τὴν ὁμιστόφορον εἰσηγεῖται
παραίνεσιν πᾶσιν ἀνθρώποις καὶ:

καὶ ἐπειδὴ διάφοροι τῆς εὐσεβείας
οἱ βίοι εἰκότως φησὶ τίς ἐστιν ἄνθρω=
πος ὁ φοβούμενος ἀντὶ τοῦ ἐν ἐκεί=
νῳ τῷ βίῳ ὃ βιωτεύει ἐκεῖνος προ=
αιρεῖται τοὺς προσφυεῖς αὐτῷ καὶ
ἁρμόζοντα τίθησιν νόμους ὡς ὁ
βαπτιστὴς Ἰωάννης τελώναις μὲν μη=
δὲν πλέον παρὰ τὸ διατεταγμένον
λαβεῖν παρῄνεσεν στρατιώταις δὲ
τὸ μηδένα διασεῖσαι δυνατὸν γὰρ
ἐν παντὶ βίῳ εὐαρεστῆσαι θεῷ
" τὸ σπέρμα αὐτοῦ κληρονομήσει
" γῆν
Ἐπειδὴ ἡ παιδοποιΐα περισπούδαστος
τοῖς Ἰουδαίοις καὶ ἀπὸ τούτου πα=
ρεῖν προτρέπειν
" Κραταίωμα κς τῶν φοβουμένων αὐτὸν
" καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει
" αὐτοῖς

αὐτοῖς

αὐτοῖς
Κραταίωμα σύμμαχος καὶ θεοφώ-
τιστον μυστήριον καὶ τοῖς φοβουμέ-
νοις αὐτὸν, καὶ τὴν συνθήκην
αὐτοῦ δηλώσει αὐτοῖς· τοῦτο ὅ-
μοιον τῷ παρὰ Ἡσαΐου τοῦ θῦ
τὰ μυστήρια μου ἐμοὶ καὶ τοῖς
ἐμοῖς:

„ Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς
„ τὸν κν̄ ὅτι αὐτὸς ἐκσπάσει ἐκ
„ παγίδος τοὺς πόδας μου.

Ὀφθαλμοὺς πάλιν τοὺς τῆς διανοί-
ας φησὶν οὕτως:

„ Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν
„ με ὅτι μονογενὴς καὶ πτωχός
„ εἰμι ἐγώ

Τὸ μονογενὴς μόνος ἡρμήνευσαν
οἱ λοιποὶ λέγουσι δὲ ἐπὶ πάσης

ἀνθρωπίνης βοηθείας γεγύμνωμαι
διὸ τυχοίμι τῆς σῆς ἀντιλήψε=
ως
» Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύν
» θησαν ἐκ τῶν ἀναγκῶν μου ἐξά=
» γαγέ με ἴδε τὴν ταπείνωσίν μου
» καὶ τὸν κόπον μου
Πολλοῖς φησὶ ἀλγεινοῖς πανταχόθεν
περιστοιχίζομαι οἷς ἀντιταλαντεύ=
σας τὰς ἐμὰς παρανομίας δὸς
τὴν συγγνώμην
» Καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου
» ἴδε τοὺς ἐχθρούς μου ὅτι ἐπληθύν
» θησαν καὶ μῖσος ἄδικον ἐμίση=
» σάν με φύλαξον τὴν ψυχήν μου
» καὶ ῥῦσαί με μὴ καταισχυνθείην
» ὅτι ἤλπισα ἐπὶ σοί·
Ἴδε τοὺς ἐχθρούς μου, εἰ μὴ δοκῶ

φησὶ

φησὶ ἄξιος εἶναι φιλανθρωπίας τοσούτοις προσπαλαίων κακοῖς· τὴν ἄδικον οὖν τῶν πολεμίων ἀπέχθειαν θεασάμενος μεγάλους ἐλέους· εἰς σὲ γὰρ ἐπλημέλησα ἐκείνους δ᾽ οὐ ἀδικήσας οὐδὲν ἀδίκως πολεμοῦμαι.

,, Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι

,, ὅτι ὑπέμεινά σε κε :

Καὶ τοῦτο ἴδιον ἀρετῆς τὸ μισεῖν μὲν τῶν φαύλων τὰς συνουσίας τοὺς δὲ τὴν ἰσότητα τιμῶντας καὶ ἀληθείᾳ χρωμένους καὶ κακίας ἀπηλλαγμένους συνήθεις ἔχειν καὶ φίλους· τοῦτο γὰρ καὶ ὁ προφήτης ἔφη ~~πεποιηκέναι~~ ἀλλὰ δὴ θεραπεύων ἐν τούτῳ τὸν δεσπότην ἡγούμενος

" Λύτρωσαι ὁ θεὸς τὸν ἰσραὴλ ἐκ πασῶν
" τῶν θλίψεων αὐτοῦ
Βασιλεῖ πρέπουσα ἡ προσενεχθεῖσα
τῷ θεῷ προσευχή· προσήκει γὰρ
τοὺς ἀρχὴν τεταγμένους πᾶσαν ποι-
εῖσθαι τῶν ὑπηκόων κηδεμονίαν·
διὰ τοῦτο καὶ ὁ μακάριος δαβὶδ
οὐ μόνον ὑπὲρ ἑαυτοῦ προσενή-
νοχε τὴν εὐχὴν ἀλλὰ καὶ ὑπὲρ
τοῦ ἐγχειρισμένου λαοῦ· ἄλλως
τε καὶ ἡ τῶν δικαίων καλῶς βα-
σιλευόντων ~~βασ~~ σωτηρία κοινὴ
τοῦ λαοῦ καθέστηκεν ὠφέλειαν
εὐτόνως φησὶ κρειττόνων γενήσο-
μαι τῶν χορομῶν καὶ τῶν διωσ-
μένων τῆς σωτηρίας ἀπολαύσει ὥσπερ
καὶ ὁ ἰσραὴλ εἰκότως τάξεται
Τοῦ δαβὶδ ψαλμός ., κε,

ψαλμὸς κε'.

Καὶ τοῦτον εἰς ἑαυτὸν εἴρηκεν ὁ προφήτης φεύγων τὸν Σαοὺλ καὶ παρὰ τοῖς ἀλλοφύλοις διάγειν ἠναγκασμένος. προσφυέστερον δὲ οὗτος ἐκείνου· ἐκεῖνος γὰρ μετὰ τὴν ἁμαρτίαν εἴρηται· διὸ καί φησιν ἁμαρτίας νεότητός μου· οὗτος παρρησιαστικώτερον· κρῖνόν με καὶ δίκασόν με:

Κρῖνόν με κύριε ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην ἐπὶ τῷ κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω:

Ἁπλότητι φησὶ κεχρημένος οὐδὲ ἠδίκησα τὸν Σαούλ· διὸ καὶ κελεύω σε τὴν ἐμὴν δίκην κρῖναι· θαρρῶν δὲ τῷ σῷ εἶδα ὅτι οὐκ ἔσομαι τοῖς διώκουσιν ὑποχείριος:

" Δοκιμασόν με Κε καὶ πείρασόν με
" τοὺς νεφρούς μου καὶ τὴν καρδί=
" αν μου ὅτι τὸ ἔλεός σου κατέναντι
" τῶν ὀφθαλμῶν μου ἐστὶ καὶ εὐηρέ=
" στησα ἐν τῇ ἀληθείᾳ σου

Νεφροὺς καὶ καρδίαν τοὺς λογισμοὺς φησὶ δοκιμάσθαι δίκην χρυσίου· παρακαλῶ ἐπειδὴ τῷ σῷ ἐλέει θαρρῶ καὶ τὴν σὴν προσμένω βοήθειαν· ὑπὸ τούτου γὰρ ἐρειδόμενος καὶ ἤδη εὐαρεστήσαι ἐν τῇ ἀληθείᾳ· εἶτα τῆς εὐαρεστήσεως τὰ εἴδη διέξεισι:

" Οὐκ ἐκάθησα μετὰ συνεδρίου
" ματαιότητος καὶ μετὰ παρανομούν=
" των οὐ μὴ εἰσέλθω ἐμίσησα
" ἐκκλησίαν πονηρευομένων
" καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθήσω

καθήσω

καθιόσω
Σημαίνει διὰ τούτων τὴν παρὰ τοῖς
ἀλλοφύλοις διωῶν. οὐκ ἠνέσχετο
αὐτοῖς κοινονῆσαι οὔτε τῆς δυσσε=
βείας οὔτε τῆς παρανομίας:
„ Νίψομαι ἐν ἀθώοις τὰς χεῖράςμου
„ καὶ κυκλώσω τὸ θυσιαστηριῶσ=
„ σου κε τοῦ ἀκοῦσεμε φωνῆς
„ αἰνέσεως σου καὶ διηγήσασθαι πάν=
„ τα τὰ θαυμασιάσου.
Τούτῳ σφόδρα τὴν δεισιδαιμονίαν
βδελύττομαι ποθῶ δὲ τοῦ ἰδεῖν
τὸ σὸν θυσιαστήριον δέσποτα καὶ
τὰς σὰς ὑμνῳδίας δέξασθαι τοῖς
ὠσὶ καὶ τῶν σῶν θαυμάτων
τὰς μεγαλουργί. τοῖς ἀγνοοῦσι
διδάξαι ὡς ἀθῶος δὲ καὶ μηδε
μίας ἐσχήνις κοινωνίας πρὸς

πρὸς αὐτοὺς τούτους μεθ' ὧν κατοι=
κῶν. θαρσῶν ἀπονήψομαι καὶ τὰς
χεῖρας ἔοικε δὲ τούτῳ τὸ ὑπὸ πι=
λάτου γεγενημένον. τηνικα τὴ ἰου=
δαικὴ ἀπεδέξατο μιαιφονίᾳ τῶ
νίψασαι:

» Κὲ ἠγάπησα εὐπρέπειαν οἴκουσου
» καὶ τόπον σκηνώματος δόξησου
» μὴ συναπολέσῃς μετὰ ἀσεβῶν
» τὼ ψυχήν μου καὶ μετὰ ἀνδρῶν
» αἱμάτων τὼ ζωήν μου ὧν ἐν
» χερσὶν αἱ ἀνομίαι ἡ δεξιὰ αὐ=
» τῶν ἐπλήσθη δώρων

Ἀντὶ τῆς εὐπρεπείας ὁ σύμμαχος.
ἀνάκτορον φησί, καὶ ἀντὶ ἀνδρῶν
αἱμάτων ἀνδρῶν μιαιφόνων
θάττον με φησί τῆς μετὰ τούτων
διαγωγῆς ἐλευθέρωσον ποθοῦν

ποθοῦντα σου

ποθοῦντάς σου τὸν οἶκον ἵνα μὴ δυ=
σεβέσιν ἀνθρώποις συναπόλω=
μαι· οἶκον δὲ τὴν σκηνὴν φησίν
οὔπω γὰρ ὁ ναὸς ᾠκοδόμηται
" Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου συνεχεία=
" θη ἐπορεύθη λύτρωσαί με κε
" καὶ ἐλέησόν με ὁ πούς μου ἔστη
" ἐν εὐθύτητι:
Τάως δὲ ἐν τούτοις συνῳδῶν ἁπλότητι
πίστεως πάσης ἐμαυτὸν κακί.
ἐχώρισα καὶ ἐν εὐσεβείᾳ εὐθύ=
τητι ἔστηκα. τὴν στάσιν εἰς τέλος
φυλάξαι με τῆς τούτων ἀπαλλαγῆς
συνοικήσεως:
" Ἐν ἐκκλησίαις εὐλογήσω σε κε
Προφητικοῖς ὄμμασι τὴν τῆς οἰκου=
μένης βλέπων μεταβολὴν ὑπέσ=
χετο ἐν ἁπάσαις αὐτοῦ ταῖς κατὰ

τῶν ἐρχομένων ἐκκλησίαις ὑμνῆσαι
διὰ τῆς τῶν ψαλμῶν συγγραφῆς
ὅπερ ὡς ὁρῶμεν ἔλαβεν πέρας
ψαλμὸς τῷ δαδ πρὸ τοῦ χρι-
σθῆναι, χ ς;

Τρίτον εὑρίσκομεν χρισθέντα τὸν
δαδ πρῶτον μὲν ὑπὸ σαοὺλ
ἐν βηθλεὲμ δεύτερον δὲ ὑπὸ
τῆς ἰούδα φυλῆς μετὰ τὴν ἀναί-
ρεσιν σαοὺλ ἐν χεβρὼν τρίτον
ὑπὸ πασῶν τῶν φυλῶν μετὰ
τὴν τελευτὴν μεμφιβοσθὲμ τὸν
ψαλμὸν τοῦτον εἴρηκεν πρὶν
τὴν δευτέραν δέξασθαι χειροτο-
νίαν καὶ προφανῶς ἐγχειρισθεὶς
τὴν τῶν πραγμάτων οἰκονομίαν
ἔτι διωκόμενος ὑπὸ σαοὺλ τοίχα

τοίχα

ιωίκα πεσαβιμέλεχ εἰσῆλθε τόν
ἱερέα καί ἐν τῇ σκηνῇ προσεύξα=
μενος καί τῷ ἀπό τόν ἄρτον λα=
βών εὐχολίαν δέ ἔφυγεν. τότε
κάρδοκι ὁ ἰδουμένος ταῖς βασιλι=
κάς ἐκεῖ νέμων ὄρους ἐδήλω
τῷ σαοὺλ τῷ φυγῇ τοῦ δαδ

" Κύ φωτισμόςμου καί σωτήρμου τίνα
" φοβηθήσομαι κύ ὑπερασπιστὴς
" τῆς ζωῆςμου ἀπό τίνος δηλιάσω

Ἀπό σοῦ φησί φωτιζόμενος πάντων
ὁμοῦ τῶν πολεμούντων κατα=
φρονῶ

" Κύ ὑπερασπιστὴς τῆς ζωῆςμου ἀπό=
" τίνος δηλιάσω

Ἀπό σοῦ φησί φωτιζόμενος καί τῶν
νοερῶν σου φῶτι καταυγαζόμενος
πάντων ὁμοῦ τῶν πολεμούντων.

πολεμούντων καταφρονῶ·

„ Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας
„ τοῦ φαγεῖν τὰς σάρκας μου οἱ
„ θλίβοντές με καὶ οἱ ἐχθροί μου
„ ἠσθένησαν, καὶ ἔπεσον

Τούτου γεγενῆσθαι πολλάκις ἡ ἱστορία διδάσκει καὶ ἅπαξ γὰρ καὶ δὶς ὑπὸ τοῦ σαοὺλ θηραθεὶς διέφυγεν δὲ μᾶλλον σε αὐτὸν ἀνεῖλεῖν εἴπερ ἠθέλησε τὸν διώκοντα τοὶ δὲ αὐτοὺς ἠσθένησαν καὶ ἔπεσον πρόρρησις ἐπὶ τῶν ἐσομένων παρὰ γὰρ τοῖς ἀλοφύλοις ἔτισε ὁ σαοὺλ τῆς πονηρίας ποινήν

„ Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβο-
„ λὴ οὐ φοβηθήσεται ἡ καρδία μου
„ ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος

πόλεμος

" πόλεμος ἐν ταύτῃ ἐγὼ ἐλπίσω
Το ταύτην φησὶ πρᾶγμα τῆ ἐπακουεί=
αι λαβών. κἂν δὲ τὸ τοῦτο καὶ
τεῖς προσβαλεῖν μοι πειρασθῶ=
σιν πολέμιοι καταθαρρῶ τῶν δει=
νῶν τῇ ἐλπίδι ταύτῃ καθωπλισ=
μένος
" Μίαν ᾐτησάμην παρὰ κῦ ταύτην
" ζητήσω τοῦ κατοικεῖν με ἐν οἴ=
" κῳ κῦ πάσας τὰς ἡμέρας τῆς
" ζωῆς μου τοῦ θεωρεῖν με τὴν τερ=
" πνότητα κῦ καὶ ἐπισκέπτεσθαι
" τὸν ναὸν τὸν ἅγιον αὐτοῦ ὅτι ἐ=
" κρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν
" ἡμέρᾳ κακῶν μου ἐσκέπασέ με
" ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ
" ἐν πέτρᾳ ὕψωσέ με:

Ἐγὼ δέ φησι τοσαύτης ἀπολαύσας
εὐεργεσίας οὐ πλοῦτον ζητῶ τὸν
ἐμὸν εὐεργέτην καὶ δυναστείαν οὐ-
δὲ βασιλείαν καὶ δόξαν ἀλλὰ
τὸ διηνεκῶς προσεδρεύειν τῶν
θείων ναῶν καὶ τὸ θεῖον ἐκεῖ-
θεν καλωπίζεσθαι καλῶς καὶ
ἐπίσκοπον ἅπαντα κατὰ νόμον
γινόμενον πεῖραν γὰρ ἔχειν
τῆς ὠφελείας ἤδη τὴν ἐκεῖθεν
σωτηρίαν ἐπισκεψάμενος καὶ
τῶν ἀλλοφύλων τὰς χεῖρας διά-
φυγών ταῦτα καὶ ᾔτησαν καὶ ἐλά-
λησαν αὐτοὶ γὰρ καὶ τὴν θείαν
ἐπανήγαγεν κιβωτὸν καὶ σκη-
νὴν θαυμαστοτέραν ἐπήξατο

καὶ τῆς

καὶ τῇ τῶν ψαλτῳδῶν χορούς ση-
νεςήσατο τὸ δὲ μίαν ἠτησάμην
ἀντὶ τοῦ μίαν χάριν νοητέον τὸ
δὲ γνῶναι νόμον πῶ διανοῖαι
ἐστὶ φαθῆς

„ Καὶ νῦν ἰδοῦ ὕψωσα κεφαλήν μου
„ ἐπ' ἐχθρούς μου ἐκύκλωσα καὶ
„ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυ-
„ σίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ
„ ἄσωμαι καὶ ψαλῶ τῷ κῶ εἰσά-
„ κουσον κέ τῇ φωνῇ μου ἧς ἐ-
„ κέκραξα

Ἐν ταῦτα ὁ χρόνος ἐνήλλακται τοῦτο „
δὲ καὶ ἀκύλας ἐδίδαξεν ἀντὶ „
γὰρ τοῦ ὕψωσεν ὑψωθήσεται „
ἡ κεφαλή μου λέθεικε σημαίνει „
τοίνυν ἔτι καὶ βασιλεύσει καὶ περι
γενήσεται τῶν δυσμενῶν καὶ

κυκλώσει

καὶ κυκλώσει αὐτοὺς ὁ μὴν ὑπ'
αὐτῶν κυκλούμενος καὶ τῷ θεῷ
προσοίσει ἐν ταῖς κατὰ τὴν οἰκου-
μένην ἐκκλησίαις διὰ τῶν τῶν
ἐθνῶν πεπιστευκότων τὴν τῆς αἰ-
νέσεως θυσίαν ἀλλαλαγμένος
ὅ ἐστι καὶ πολεμικῇ φωνῇ ὑπὸ
τῶν θαρραλεωτέρων κατὰ τῶν
δειλιόντων γινομένη τοιοῦτο τρό-
πος καὶ ἡ ὑμνῳδία εὐθυμούντων
γὰρ ἐπὶ φωνῇ

” Ἐλέησόν με καὶ εἰσάκουσόν μου
” σοὶ εἶπεν ἡ καρδία μου κύριον ζητή-
” σω ἐξεζήτησέ σε τὸ πρόσωπόν
” μου τὸ πρόσωπόν σου κύριε ζητήσω.

Οὐ γὰρ λόγοις ἐχρησάμην ἀληθείαι
γεγυμνωμένης ἀλλὰ τῇ διανοίαι

διανοίαι

διανοίας συνῳδὰ λαλοῦσι τοῖς λόγοις τὸ ἔργον ἐπέθηκεν τοῦτο δέδρακε καὶ εἰς τὸν ἔπειτα χρόνον:

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. βοηθός μου γενοῦ μὴ ἀποσκορακίσῃς με καὶ μὴ ἐγκαταλίπῃς με ὁ Θεὸς ὁ σωτήρ μου:

Τοῦτο ἐκ μεταφορᾶς τέθεικε τῶν ὀργιζομένων καὶ τοὺς προσιόντας ἀποστρεφομένων καὶ τὰς ἐκείνων ὁδοὺς πειρωμένων ἐκκλίνειν. τὸ δὲ μὴ ἀποσκορακίσῃς με, οἱ ἄλλοι ἑρμηνευταὶ εἶπον μὴ ἀπορρίψῃς με ἀπὸ τῆς ἔξωθεν δὲ παιδείας οἱ ο', τοῦτο τὸ ὄνομα πεποιήκασι:

Τό γάρ ἐς κόρακας ὕβρεις τῶ παρά
τοῖς παλαιοῖς ἀπό τινος μύθου γε=
γεννημένη·

» Ὅτι ὁ πήρμου, καί ἡ μήρμου ἐγκα=
» τέλιπόν με ὁ δέ κς προσελάβε=
» τό με:

Διωκόμενος γάρ ὑπό τοῦ σαοῦλ πόρ=
ρω διάγειν ἀπό τῶν γεγεννηκότων
ἠνάγκασον ἀφῆκε δέ μοι φησί ἀντί
πάντων δέσποτα:

» Νομοθέτησόν με κέ ἐν τῆ ὁδῶ σου
» καί ὁδήγησόν με ἐν τρίβω εὐθεία

Ἀντί τοῦ νομοθέτησόν με ἀκύλας
καί θεοδοτίον φώτισον εἰρήκα
σιν. ὁ δέ συμμαχος ὑπόδειξόν=
μοι τῶ ὁδόν σου. ἐπειδή πόρρω
φησί διάγειν τῶν ὁμοφύλλων ἠνάγ=
κασιν. αὐτός γενοῦ μοι νομοθέ

της καί

νομοθέτης καὶ ποδηγὸς δεικνύων
τὴν πρὸς σὲ φέρουσαν τρίβον:
» Ἕνεκα τῶν ἐχθρῶν σου μὴ παρα=
» δῷς με εἰς ψυχὴν θλιβόντων με
Ταπεινοφροσύνης τὰ ῥήματα φησὶ
γάρ ἐστι ἐγὼ μὲν τῆς σῆς σωτηρίας
ἀνάξιος. ἀλλ' ὅ ἥκιστα τοὺς πολε
μοῦντας ἠδίκησα μὴ οὖν παρα=
δῷς αὐτοῖς τὸν ἀδικούμενον
» Ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδι=
» κοι καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
Ὁ ἀκύλας τοῦτο σαφέστερον φησὶ:
ἀνέστησάν μοι μάρτυρες ψεύδους
καὶ ἐξεφάνη ἡ ἀδικία αὐτοῖς μὲ
φησὶ συκοφαντίαις ἐχρήσαντο
κατ' ἐμοῦ ἐγὼ δὲ λώβην οὐδεμί
αν ἐδεξάμην τῇ σῇ βοηθείᾳ τὰ
δὲ βέλη αὐτῶν ἀντεστράφη κατὰ

" Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ
" ζώντων· ὑπόμεινον τὸν κύριον καὶ ἀν-
" δρίζου καὶ κραταιούσθω ἡ καρδί-
" α σου καὶ ὑπόμεινον τὸν κύριον:
Οὐ μόνον ἐν ταῦτα κρείττων ἔσομαι
τῶν δυσμενῶν ἀλλὰ καὶ κατὰ τὸν
μέλλοντα βίον τῶν ἀγαθῶν ἀπο-
λαύσω γῆν γὰρ ζώντων τὸν μέλλον-
τα βίον φησὶ εἰ πᾶσιν ἀνθρώποις
παραινεῖ ὑπόμεινον τὸν κύριον πιθ
ὁμοίους φησὶ τῇ ἀνδρείᾳ καθοπλιζό-
μενος καὶ διὰ ταύτης τῶν προσβα-
λόντων περιγινόμενος παθῶν κρα-
τήσεται καὶ νικᾶν:

Ψαλμὸς τῷ Δαβίδ, κζ.

Καὶ τοῦτον εἴρηκεν ὑπὸ Σαοὺλ
διωκόμενος ὑπὸ τῶν δυσκόπων

φίλων

Φίλων ἐπιβουλευόμενος καὶ κατα-
μωμυόμενος τῷ σαοὺλ ἁρμόττει
δὲ καὶ οὗτος καὶ ὁ πρὸ αὐτῶν
πάν παντὶ ἀδικουμένῳ καὶ εἰς
θεὸν ἐλπίζοντι:
Πρὸς σὲ κύριε κεκράξομαι ὁ θεός μου
μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ μή
ποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ καὶ
ὁμοιωθήσομαι τοῖς καταβαίνου-
σι εἰς λάκκον εἰσάκουσον κύριε τῆς
φωνῆς τῆς δεήσεώς μου ἐν τῷ δε-
σθέμαι πρὸς σέ:
Τὸ κεκράξομαι οὐκ ἐπὶ φωνῆς ἀλ-
λ' ἐπὶ συντόνου καὶ σπουδαίας τε-
θείκε προσευχῆς τὸ δὲ μὴ παρα-
σιωπήσῃς καὶ τῆς σῆς με γυμνώ-
σῃς βοηθείας, θανοῦμαι τοῦτον
γάρ φησι λάκκον:

›› ἐν τῷ αἴρειν με χεῖράς σου πρὸς να-
›› ὸν ἅγιόν σου

Τὴν σκηνὴν φησὶ ναὸν οὔπω γὰρ ὁ
ναὸς ἔκτιστο πόρρω μὲν ὢν
κατὰ τὸ σῶμα τοῦ δὲ σοῦ ἐκεῖ
παραπέμπω εὐχὰς ἐκεῖ τὸ θεῖ-
ον ὑποπτεύων περιγεγράφθαι ἀλ-
λ' ἐκεῖ τὴν θείαν ἐπιφάνειαν γε-
γενῆσθαι μεμαθηκώς:

›› Μὴ συνελκύσῃς με μετὰ ἁμαρτω-
›› λῶν καὶ μετὰ ἐργαζομένων ἀ-
›› νομίαν μὴ συναπολέσῃς με τῶν
›› λαλούντων εἰρήνην μετὰ τῶν
›› πλησίον αὐτῶν καὶ κατὰ τὴν
›› πονηρίαν τῶν ἐπιτηδευμάτων
›› αὐτῶν κατὰ τὰ ἔργα τῶν χει-
›› ρῶν αὐτῶν δὸς αὐτοῖς ἀπόδο

ἀπόδομα

» ἀπόδομα αὐτῶν αὐτοῖς:

Μηδεμίαν ἔχω κοινωνίαν μετὰ τῶν διπλόη κεχρημμένων ἐκείνων βδελυροὺς γὰρ εἶναι φησὶ τοὺς ἕτερα φθεγγομένους καὶ ἕτερα βουλευομένων οὗ δὴ χάριν καὶ πρὸς ἄωρα βούλεται αὐτοῖς λαβεῖν τοῖς ἐπιτηδεύμασι τὰ ἐπίχειρα οὐκ ἐπαρᾶται δὲ τοῖς ἐχθροῖς ὁ δίκαιος ἀλλὰ ψῆφον αἰτεῖν δικαίαν. ταῖς οἰκίαις γὰρ φησὶ ἐπιβουλαῖς περιπέσοιεν αἷ κατ᾽ ἄλλων κατώρυσσον ἐπὶ ταύτην αἰτίαν ἀντιθήσειν

» Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα κυρίου καὶ
» εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ
» καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδο

μήσεις

,, οἰκοδομήσεις αὐτούς:

Ταῦτα δέ φησι δέδρακασι οὔτε λόγον
οὔτε ἔργον θεῖον μαθεῖν ἠθελήσαν
τα· διὸ δὴ καθελεῖς αὐτούς· λυσιτελὴς
γὰρ τοῖς κακοῖς οἰκοδόμοις ἡ τῆς
πονηρᾶς οἰκοδομίας κατάλυσις. δῆ-
λον δὲ καὶ ἐντεῦθεν ὅτι οὐκ ἐπα-
ρᾶται ἀλλὰ προαγορεύει. οὐ γὰρ
εἶπεν κάθελε· ἀλλὰ καθελεῖς.
εἶτα τῆς θείας ἀποκαλύψεως ἀπο-
λαύσας καὶ τὴν ἐσομένην βοή-
θειαν θεωρήσας εἰς ὑμνῳδίαν
τὴν γλῶτταν ἐκίνησεν:

,, Εὐλογητὸς κύριος ὅτι εἰσήκουσε τῆς
,, φωνῆς τῆς δεήσεώς μου· καὶ βοη-
,, θός μου καὶ ὑπερασπιστής μου· ἐπ'
,, αὐτῷ ἤλπισεν ἡ καρδία μου καὶ

ἐβοηθήθην

» καὶ ἐβοηθήθην καὶ ἀνέθαλεν
» ἡ σάρξ μου καὶ ἐκ θελήματός μου
» ἐξομολογήσομαι αὐτῷ κύ. κρα=
» ταίωμα τοῦ λαοῦ αὐτοῦ καὶ ὑ-
» περασπιστὴς τῶν σωτηρίων τοῦ
» χῦ ἐστί σῶσον τὸν λαόν σου καὶ
» εὐλόγησον τὴν κληρονομίαν σου
» καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον
» αὐτοὺς ἕως τοῦ αἰῶνος

Καὶ δεικνὺς τὴν αἰτίαν τῆς ταχείας
ἐπικουρίας ἐπήγαγεν ὅτι ἐπ' αὐ=
τῷ ἤλπισεν ἡ καρδία μου ἡ γὰρ
εἰς αὐτὸν ἐλπὶς τῆς προμηθείας
πρόξενος διὸ τῆς κακουργ. ἀπα=
λλαγεὶς ἀνεθαλλάτε καὶ ἐρρώθησα
καὶ τὴν ἐκ τῆς εὐθυμίας εὐεξίαν
ἀπέλαβον. τὸ δὲ ἐκ θελήματός
μου

θελήματός μου ἀντὶ τοῦ οὐ βίαιον
ἀλλ' ἐθελούσιον αὐτοῦ προσφέρω
τὸν ὕμνον χριστὸν δὲ αὐτοῦ ὡς
βασιλέα καλεῖ. τὸ δὲ ἔπαρον αὐ=
τοὺς ἀντὶ τοῦ ὑπερτέρους ἀπόδει=
ξον τῶν πολεμίων ἀξιάγαστον
δὲ καὶ τοῦτο τοῦ δαδ ὅτι πολε=
μούμενος ὑπὸ τοῦ λαοῦ ὑπερ
ηύχετο αὐτοῦ

Ψαλμὸς τῷ δαδ ἐξόδου
σκηνῆς -, κη´,

Διπλῆν ἔχει τὴν προφητείαν ὁ ψαλ=
μὸς τὴν μὲν εἰς ἐζεκίαν τὴν
δὲ εἰς χν̄ ἁρμόττουσαν καὶ τὴν
μὲν εἰς ἐζεκίαν ὡς ἐν συντόμῳ
εἰπεῖν οὕτω νοήσωμεν οὕτως ἐπὶ
τῷ παραδόξῳ τῆς κατὰ ἀσσυρίων

νίκης

νίκην ἐπαγαλλόμενοι παρακελεύεται
τῷ λαῷ θυσίαις καὶ ὕμνοις ἀμεί-
βεσθαι τὸν θεὸν ἐν τῇ αὐλῇ ἐπειδὴ
ὁ ναὸς ἱερεῦσιν μόνοις ἐπιτηδὸς
τὴν ἑταίρων δεικνὺς τὴν αἰτίαν καὶ τὴν
θεήλατον διωγμὸν τῶν ἀσεβῶν
πληγὴν φωνὴν καὶ βροντὴν καὶ
πλῆθος ὑδάτων καὶ καταπλοῦς
τῶν πολεμίων ὀνομάζων τὸ πλῆθος
ὕδωρ δὲ μονοκερώτων τὸν ἰσραη-
λίτην λαὸν ὡς διὰ τῆς προσκυνή-
σεως τοῦ ἑνὸς θεοῦ καὶ ἰσχύος ἐ-
κείνους καταβάλλοντα καὶ ἐπιδεί-
κνυ αὐτοὺς φλογὸς δίκην ἀποφέρ
καὶ τὴν τοῦ θεοῦ ἔρημον σειώ-
σεως φάλαγγα καὶ τὸν δρυμὸν
μιμούμενον χῶρον. διὰ τὸν ἐν-

θεῶ...

ἐν αὐτῷ στρατὸν ἐτύμμνωσεν ἡμᾶς
δὲ τοὺς δειλιῶντας ἐλάφου δίκην
μὴ ἐποίησεν οὕτως καὶ τὰ ὑπὸ
τῶν πολεμίων ἔξω περιβόλων
καυθέντα κατοικῆσαι καὶ ἀνοικο=
δομῆσαι ἡμᾶς ποιήσει ὡς ἀρχὴν
ὃν ἔχον πρώτως. ὃ καὶ τὴν ἐπιθυμίαν
ἡμῖν δοὺς καὶ ταῦτα μετὰ περι
ἐξεχίου:

›› Ἐνέγκατε τῷ κῷ υἱοὶ θῦ ἐνέγκατε
›› τῷ κῷ υἱοὺς κριῶν ἐνέγκατε τῷ
›› κῷ δόξαν καὶ τιμήν.

Περὶ χῦ οὕτως παρακελεύεται ἡ χά=
ρις τοῦ πρὸς τοῖς ἀποστόλοις κηρῦ=
ξαι τὴν σωτηρίαν τοῖς ἔθνεσι
υἱοὺς γὰρ θῦ τοὺς ἀποστόλους
υἱοὺς δὲ κριῶν τοὺς ἐξ ἐθνῶν
πιστεύσαντας φησὶ ὡς ἐξ ἀλόγων

φιῶται

Ψάλται πρῶτον
Ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι
αὐτοῦ προσκυνήσατε τῷ κυρίῳ ἐν
αὐλῇ ἁγίᾳ αὐτοῦ φωνὴ κυρίου ἐπὶ
τῶν ὑδάτων ὁ θεὸς τῆς δόξης
ἐβρόντησε κύριος ἐπὶ τῶν ὑδάτων
πολλῶν φωνὴ κυρίου ἐν ἰσχύϊ ἡ με=
γαλοπρέπεια:
Εἶτα διὰ τούτου τῶν τὸ σέβας καὶ τοὺς
ὕμνους ἐν τοῖς θείοις οἴκοις τοῦ
εὐεργέτου καὶ τῶν ἱερῶν ἀνέμνη=
σε ὑδάτων λέγει φωνὴ κυρίου ἐπὶ
τῶν ὑδάτων προσαγορεύων τὸν
ἰορδάνην ἐνεχθεῖσα φωνὴν βρον=
τὴν δὲ αὐτὴν φησὶν ὡς εἰς πᾶσαν
διαμοῦσαν τὴν οἰκουμένην τῶν
ἱερῶν εὐαγγελιστῶν τὴν δὲ ἐπὶ ὑδάτων

ὑδάτων πολλῶν σημαίνει ὅτι οὐ
μόνον ὁ Ἰορδάνης τὴν χάριν ἐδέ-
ξατο ἀλλ' ἐν πάσῃ τῇ γῇ τὸ θεῖον
βάπτισμα διὰ τῆς ἁγίας ἐπικλή-
σεως φθάξεται. εἶτα λέγει τὴν χρη-
σθεῖσαν τοῖς ἀποστόλοις δύναμιν
φωνὴν τὴν ἐν ἰσχύι λέγει τὸ διὰ πνο-
ῆς βιαίας ἐπιφοιτῆσαν ἦχον πρά
ὂν καὶ μεγαλοπρεπῆς ἀποφῶναι τοὺς
ὀλεκτοὺς εἶτα δείκνυσι ὁποίαν κα-
τόρθωσιν τῇ δοθείσῃ φωνῇ κραταιωθέν-
τες:

,, Φωνὴ κυρίου συντρίβοντος κέδρους καὶ
,, συντρίψει κύριος τὰς κέδρους τοῦ
,, Λιβάνου

Σημαίνει διὰ τούτου τὴν τῶν εἰδώλων
κατάλυσιν:

κατάλυσιν

καταλυσιν·

" Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν
" λίβανον

Μόσχον λίβανον ὃν ἐποίησαν ἐν
χωρὴβ οἱ ἑβραῖοι ὃν ἐλέπτυνε συν=
τρίψας μωυσῆς

" Καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώ=
" των·

ὁ πεπιστευκὼς φησὶ λαὸς οὐ τὴν τῶν
μίαν θεότητα περιβάλλον ἀπίστως
ἔσται ὡς ἠγαπημένος

" Φωνὴ κυρίου διακόπτοντος φλόγα πυρός

Πυροειδὴς γὰρ ἡ χάρις τοῦ πνεύματος ἐπὶ
τοὺς ἀποστόλους φανεῖσα ἐθάλπε-
μεν οὐ κατέκαιε δὲ καὶ ἐν τῷ μελ=
λοντι βίῳ οἱ μὲν δίκαιοι φωτίζον=
ται οἱ δὲ ἁμαρτωλοὶ σκοτίζονται

" Φωνὴ κυρίου συσσείοντος ἔρημον καὶ

σείσει

›› σείσει κς τὴν ἔρημον καδής

Ὁ κλονίζοντας ὁ σύμμαχος ὁ δὲ ἀκύ=
λας ὠδίνοντας ἔρημον τὰ ἔθνη φη=
σὶ ὡς ἔρημα πάλαι θεοῦ ἃ διὰ τῆς
θείας ἐπιφανείας ὠδίνησαν καὶ τέ=
ξει φρασμὸν τοῦτο γὰρ ἐπὶ τοὺς
ἔσπε:

›› φωνὴ κυ καταρτιζομένη ἐλάφους
›› καὶ ἀποκαλύψει δρυμούς, καὶ ἐν
›› τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.

Φύσει ἐλάφων καταφρονεῖν τῶν
ἑρπετικῶν θηρίων οὕτω καὶ οἱ ἀπό=
στολοι τῶν δαιμόνων δρυμὸν σι
τὰ εἴδωλα ἃ ἐκκειτο ξαντες οἱ
μαθηταὶ ὡς καλλοι γη πόμενοι ταῖ
ἐκκλησίαι ἐθώτασαν διὸ καὶ
ὑμνεῖται ὁ θεὸς παρὰ πάντων

πάντων

πάντων
Κ(ύριο)ς τὸν κατακλυσμὸν κατοικιεῖ καὶ καθί-
σεται κ(ύριο)ς βασιλεὺς εἰς τὸν αἰῶνα. κ(ύριο)ς
ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει· κ(ύριο)ς εὐλο-
γήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ:
Τὴν γὰρ τῶν χειμάρρων τῆς ἀνομίας
καταλυσθεῖσαν οἰκουμένην νε-
ουργήσας αὐτὸς τοὺς λοιποὺς βα-
σιλεύσει. τὸ δὲ κ(ύριο)ς ἰσχὺν τῷ λαῷ αὐ-
τοῦ δώσει καὶ διὰ τοῦτο σημαίνε-
ται τῶν δυσσεβῶν ἐπανάστασις καὶ
τὴν νίκην τῶν μαρτύρων καὶ τὴν με-
τὰ ταῦτα εἰρήνην ἰσχὺν γὰρ δώσει
δηλαδὴ ἐν τῷ τοῦ πολέμου καιρῷ.
Ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ
τοῦ οἴκου εἰς τὸ τέλος δα(βί)δ:
Ὅτε τὸν θεῖον ναὸν ἐδείματο ὁ μακά-
ριος

μακάριος δα̅δ οὕτε τῷ δεικνυμένῳ
ἁρμόττει τοῦ ψαλμοῦ τὰ ῥήματα
ἐγκαινισμὸν τοίνυν οἶκον καλεῖ τὴν
τῆς ἀνθρωπίνης φύσεως νεουργίαν.
ἣν ὁ δεσπότης χ̅ς̅ ἐπετέλεσε τὸν
ὑπὲρ ἡμῶν καταδεξάμενος θά-
νατον καὶ τῆς ἀναστάσεως ἡμῖν
δεδωκὼς τὰς ἐλπίδας εἴρηται τοί-
νυν ὁ ψαλμὸς πρὸς τὸν θ̅ν̅ ὑπὸ
πάσης τῆς σωθείσης φύσεως:
» Ὑψώσω σε κ̅ε̅ ὅτι ὑπελάβετό με καὶ
» οὐκ εὔφρανας τοὺς ἐχθρούς μου
» ἐπ' ἐμέ
Λαβὼν γὰρ τὴν ἡμετέραν ἀπαρχὴν ὁ
δεσπότης πᾶσαν διὰ τῆς τὴν φύσιν
σοι ἠξίωσε καὶ ἐπίχαρτον γενέσθαι
τοῖς πολεμίοις οὐκ εἴασε δαίμοσιν
» Κ̅ε̅ ὁ θ̅ς̅ μου ἐκέκραξα πρὸς σέ καὶ

ἰάσω με

„ ἰασώμες κε ἀνήγαγες ἐξ ᾅδου τὴν ψυ=
„ χήν μου ἔσωσάς με ἀπὸ τῶν κατα=
„ βαινόντων εἰς λάκκον

Τὰ δάκρυά μου καὶ τοὺς ἐπὶ τοὺς τε=
λευτῶσι θρήνους ἀντὶ προσευ=
χῆς τέθεικεν δάκρυς τοῦ δὲ
τὸν ἔλαιον ὅτι καὶ τιμὴ καλούμε=
νος· διὰ ταῦτα ὤκτειρεν ἡμᾶς λά
κκον δὲ κἀνταῦθα τὸν θάνατον
προσηγόρευσεν

„ Ψάλατε τῷ κῷ οἱ ὅσιοι αὐτοῦ καὶ
„ ἐξομολογεῖσθαι τῇ μνήμῃ τῆς ἁγι=
„ ωσύνης αὐτοῦ:

Ἐκόλος ἀπονέμειν τοῖς ὁσίοις τοῦ ὕμ=
νου ἅπαν γὰρ ἠξιώμεθα τῆς ἀ=
ναστάσεως ἐκεῖνοι δὲ μόνοι τῆς
χάριτος ἄξιοι:

„ Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ καὶ ζωὴ
„ ἐν τῷ θελήματι αὐτοῦ.

Τοῦτο γὰρ βούλεται αὐτὸς ἐκεῖνο δὲ ἡ-
μεῖς ἐπιστάμεθα καλῶς τὴν ὀργὴν
ἐπένειμε τῷ θυμῷ ἥτις ἐστὶ ἡ παι-
δεία τὴν ζωὴν τῷ θελήματι τοῦτο
γὰρ βούλεται αὐτὸς ἐκεῖνο δὲ
ἡμεῖς ἐπιστάμεθα

„ Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθ-
„ μὸς καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις

Τῶν ἱερῶν ἀποστόλων πρὸς ἑσπέρας
ὀδυρομένων τοῦ πρὸς τὰ πάθη.
οἶκον αἱ γυναῖκες ὑπὸ τὴν ἐκ τῆς
ἀναστάσεως τὴν εὐφροσύνην κο-
μίζουσαι

„ Ἐγὼ δὲ εἶπον ἐν τῇ εὐθηνίᾳ μου οὐ
„ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα

Τοῦτο καὶ ὁ ἅγιος Δαβὶδ ἤλπισεν τῷ πα-

παραδείσου

παραδείσου πρὸ τῆς ἀπάτης πολιτε=
υόμενος· ἰστέον δὲ ὅτι καὶ τοῦτον τὸν
ψαλμὸν διπλῆν ἔγνωμεν ἔχειν τὴν
προφητείαν· ταῦτα γὰρ καὶ εἰς τὴν
ἐκκλησίαν ἔχειν πάντα τὴν ἀναφορὰν
μετὰ τὴν νίκην ἐκείνην καὶ τῆς νό=
σου τὴν ἀπαλλαγὴν πανηγυρίζοντα

Κ(αὶ) ἐν τῷ θελήματί σου παρέσχου
τῷ κάλλει μου δύναμιν· ἀπέστρεψας
δὲ τὸ πρόσωπόν σου ἐγενήθην τε=
ταραγμένος

Ἡ φύσις πρὸ τῆς παραβάσεως τῷ τῆς
ἀρετῆς ἐκεκόσμητο κάλλει· τὸ
δὲ θείας προνοίας διὰ τὴν παρά=
βασιν γυμνωθῆναι τὴν ἀπὸ τῆς
θείας βοηθείας ὑπέμεινεν ζάλην·
τοῦτο δὲ σαφῶς λίαν ὁ σύμμα

χος

ὁ σύμμαχος τεθεικὼς π̄ε ἐν τῇ εὐ=
δοκίᾳ σου ἐστέφθης τῶν πρωτα=
θλῶν κράτος:

» Πρὸς σὲ π̄ε κεκράξομαι καὶ πρὸς
» τὸν θ̄ν μου δεηθήσομαι τίς ὠφέ=
» λεια ἐν τῷ ὀνόματί μου ἐν τῷ κα=
» ταβαίνειν με εἰς διαφθοράν μὴ
» ἐξομολογήσεταί σοι χοῦς ἢ ἀναγγελεῖ
» τὴν ἀλήθειάν σου

Ταῦτα διὰ τῶν ἁγίων ἡ φύσις βοᾷ
ἔτι δίκαιον ἡγούμενος τὸν ποιητὴν
καὶ λόγοις εὐγνώμοσιν ἀμείβε=
σθαι σοῦ τὰς χάριτας τοῦτο δὲ ζῶν
τες ἴδιον οἱ γὰρ ὡς χοῦς καὶ κόνις
διαλυόμενοι καὶ τὸ στοματικὸν ἀπο=
λέσαντα ὄργανον πῶς ἂν δυνηθεῖ-
ταις σαῖς εἰπεῖν εὐεργεσίας.

εὐεργεσίαις

ὐεργεσίας

Ἤκουσε τε καὶ ἠλέησέμε τε ἐγενήθη
βοηθόςμου ἔστρεψας τὸν κοπετόν=
μου εἰς χαρὰν ἐμοὶ διέῤῥηξας
τὸν σάκκονμου καὶ περιέζωσάς=
με εὐφροσύνῃ.

Ἡ ἀνθρωπεία φύσις τὸ πένθιμον πε=
ριβέβλητο σχῆμα τὴν ἐλπίδα δὲ
τῆς ἀναστάσεως δεξαμένη καὶ ἐ=
κείνην προσμένουσαν εὐφραίνεται.

Ὅπως ἂν ψαλῇ σοι ἡ δόξαμου καὶ
οὐ μὴ κατανυγῶ κε ὁ θεόςμου εἰς τὸν
αἰῶνα ἐξομολογήσομαίσοι

Οὕτως ὁ σύμμαχος φησὶ ἵνα ᾄδῃ
ἡ δόξα καὶ τὸ μὴ ἀποσιωπήσῃ ἀντὶ
τοῦ προσφυῶς ταῦτα ἕνεκα τῆς εὐερ=
γεσίας διηνεκῶς ᾄδειν καὶ ὑμνεῖν τοὺς

τοὺς τοσαύτης δόξης τετυχηκότας ἐν
μηδενὶ καιρῷ σιωπῶντας καὶ κατανύ=
ξις δὲ σιγὴν ἐμποιεῖ· διὸ οἱ εὐδομέ=
νοι ἀντὶ τῆς σιγῆς τεθείκασιν τὴν=
κατάνυξιν· ἴσον δὲ ὅτι ταῦτα κατὰ
τρόπον μὲν ἁρμόττειν τὸν ἐζεκίαν
καὶ πρὸς τὴν φύσιν τῶν ἀνθρώπων
κατὰ ἀλήθειαν ὥσπερ γὰρ ἐκεῖνος
ὑψηλοφρονήσας θανάτου ψυχὴν ἐ=
δέξατο εἶτα χάριν προσθήκην ἔλα=
βε ζωῆς οὕτω καὶ ἡ φύσις διὰ τὴν
ἔπαρσιν θανατωθεῖσα φιλανθρω=
πίᾳ τῆς ἀναστάσεως ἔτυχεν :

" Εἰς τὸ τέλος ψαλμὸς τῷ δαδ

Τὸ ἐκστάσεως οὕτω παρὰ τῷ ἑβραϊκῷ
οὕτω παρὰ τοῖς λοιποῖς εὗρον ἑρμηνεύ
να ταῖς ἐννοίαις δὲ τῶν ἀντιγράφων

ἀντίτεινονται

ἀμείπτεσθαι δέ μοι τὰ κατὰ τὸν οὐρίαν
δοκεῖ ἔξωθεν φησὶ εἶπα ἐν τῇ ἐκ-
στάσει μου ἀπέρριμαι ἀπὸ προσώπου
τουτέστι ὤφθην ἡ ἁμαρτία τῇ σῇ
γεγυμνῶσθαι προνοίᾳ· εἰρῆσθαι δὲ ἐ-
οικεν καθὸν καιρὸν ὁ δαδ ὑπὸ τοῦ
ἀβεσαλὼμ ἐδιώκετο:

» Ἐπὶ σοὶ κε ἤλπισα μὴ καταισχυνθεί-
» ην εἰς τὸν αἰῶνα

Αἰσχύνω με φησὶ περιέβαλεν ἡ ἁμαρ-
τία πολλὴ ἱκετεύω δὲ μὴ μέχρι πολ-
λοῦ ταύτῃ ἐπιμεῖναί με διὰ τὴν
εἰς σὲ πεποίθησιν·

Ἐν τῇ δικαιοσύνῃ μου ῥῦσαί με καὶ ἐ-
ξελοῦ με. κλῖνον πρός με τὸ οὖς σου
τάχυνον τοῦ ἐξελέσθαι με γενοῦ μοι
εἰς θεὸν ὑπερασπιστὴν καὶ εἰς οἶκον

» κατὰ ψυχῆς τοῦ σῶσαί με

Μὴ εἰς τὴν ἐμὴν φησὶ ἀποβλέψῃς
ἁμαρτίαν ἀλλὰ εἰς τὴν τῶν διώ-
κόντων παρανομίαν ταύτῃ γὰρ τὰ
δίκαια ψήφισαι χρησάμενος ταύτῃ
εἰς ἐκφυψάνημοι

Ἀκύλας καὶ σύμμαχος πεπραμένου
ἡρμήνευσαν τὸ δὲ διαθρέψεις με
ὁ σύμμαχος ἐπιμελήσεις με φησὶ
λέγει δὲ ὅτι παντοδαπῆς με προνοί[ας]
ἀξίωσον διὰ τὸ ὄνομά σου τὸ δὲ
ἐξάξεις με ἐκ παγίδος τὴν τοῦ Ἀχιτό-
φελ ἐμπίπτεται διὰ τούτων βουλὴν

» ὅτι σὺ ὁ ὑπερασπιστής μου κύριε εἰς
» χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου
» ἐλυτρώσω με κύριε ὁ θεὸς τῆς ἀληθείας

Πολλαῖς πολλάκις συμφοραῖς περι

περιπεσὼν

περιπεσὼν διὰ τῆς σῆς ἠλευθερώ=
θην ῥοπῆς· οὗ δὴ χάριν τὴν ἐμ
αυτοῦ ψυχὴν τῇ σῇ παρατίθημαι
προμηθείᾳ· χεῖρας γὰρ πάλιν ἐν
ταῦθα τὴν προμήθειαν ὀνομάζει.
» Ἐμίσησας τοὺς διαφυλάσσοντας
» ματαιότητας διακενῆς· ἐγὼ δὲ ἐπὶ
» τῷ κῷ ἤλπισα· ἀγαλλιάσομαι καὶ
» εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου.
Ἐκεῖνοι μὲν οὖν φησὶ οὐ σοὶ τεθαρήκα=
σιν, ἀλλὰ τοῖς ματαίοις κέχρηνται
λογισμοῖς· εἰώθας δὲ τοὺς τοιούτους
παντελῶς ἀποστρέφεσθαι· ἐγὼ δὲ
ἐπὶ ταῖς συμφοραῖς ὢν τὴν σὴν
ἐπικουρίαν καλῶ καὶ ταύτης ἀπο=
λαύσας τῇ σῇ φιλανθρωπίᾳ τῶν
ἀγαθῶν ἀντιτίθημαι τὴν αἰτίαν.

» ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου ἔσωσας
» ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου καὶ
» οὐ συνέκλεισάς με εἰς χεῖρας
» ἐχθρῶν ἔστησας ἐν εὐρυχώρῳ τοὺς
» πόδας μου ἐλέησόν με κύριε ὅτι θλί-
» βομαι ἐταράχθη ἐν θυμῷ ὁ ὀφ-
» θαλμός μου ἡ ψυχή μου καὶ ἡ γα-
» στήρ μου:

Ἐνέδραις γὰρ πολλάκις περιπεσὼν
φησὶ διέφυγον τοὺς ἐχθρούς τὸ
δὲ ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλ-
μός μου παρώργισε γάρ σε διὰ
τῆς ἁμαρτίας δακρύειν συνεχῶς
ἀναγκάζομαι καὶ μέντοι καὶ ἡ
ψυχή μου ζάλης καὶ θορύβου ἐμ-
πέπλησται. γαστέρα δὲ ἐνταῦθα
τὸν τῶν λογισμῶν λόχον φησί.

Φησὶ οἱ λογισμοὶ γὰρ ἀλλοῦ χ' ἡ γαστὴρ
ἐταράττοντο:
» Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου καὶ
» τὰ ἔτη μου ἐν στεναγμοῖς ἠσθένησεν
» ἐν πτωχείᾳ ἡ ἰσχύς μου καὶ τὰ ὀστᾶ=
» μου ἐταράχθησαν
Πάντα μου τὸν βίον φησὶ εἰς ὀδύνας
καὶ δάκρυα δεδαπάνηκα καὶ ἡ
ἔνδεια δὲ τῶν ἀναγκαίων καὶ ἡ πεῖ=
νις κατεσκελίτευσέ μου τὸ σῶμα
Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγε-
νήθην ὄνειδος καὶ τοῖς γείτοσί μου
σφόδρα καὶ φόβος τοῖς γνωστοῖς
μου
Οἱ ἐχθροί μου φησὶ ἐν εὐθυμίᾳ ἐγὼ
δὲ καταγέλαστος εἰμὶ καὶ τοῖς ὁμο=
ροις ἐπίχαρτος καὶ τοῖς γνωρίμοις
ἐπίφοβος καὶ σαφέστερον τοῦτο διδάσ-
κων

διδάσκων ἐπάγει· οἱ θεωροῦντες·

Οἱ ἐχθροὶ μου φησὶν ἐν εὐθυμίᾳ· ἐγὼ
δὲ καταγέλαστος εἰμὶ καὶ τοῖς ὁμό-
ροις ἐπίχαρτος καὶ τοῖς γνωρίμοις
ἐπίφοβος καὶ σαφέστερον τούτων
διδάσκων ἐπάγει ~~οἱ θεωροῦ~~.

» Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐ-
» μοῦ ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρ-
» δίας ἐγενήθην ὡσεὶ σκεῦος ἀπολω-
» λὸς ὅτι ἤκουσα ψόγον πολλῶν πα-
» ροικούντων κυκλόθεν.

Δεδίασιν γὰρ συγγενέσθαι μοι μὴ τοῖς
ἐμοῖς ἐχθροῖς περιπέσωσιν ἀπεί-
ρωσαν δέ με πάντες. δίκην σκεύους
ἀπολωλότος. ἢ νεκροῦ τάφον οἰκοῦν-
τος ὅτι ἤκουσα ψόγων πολλῶν
ταῦτα δὲ οὐτοπαίζων λέγει ἀλλὰ
ταῖς ἀκοαῖς τὰ ὀνείδη δεξάμενος.

σημαίνει

σημαίνει δὲ διὰ τούτων καὶ τοὺς
τοὺς ἐμὲ χλευῶσι.
Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα
ἐπ' ἐμὲ τοῦ λαβεῖν τὴν ψυχήν μου
ἐβουλεύσαντο. ἐγὼ δὲ ἐπὶ σοὶ
Κύριε ἤλπισα· εἶπα σὺ εἶ ὁ Θεός μου. ἐν
ταῖς χερσί σου οἱ κλῆροί μου· ῥῦ-
σαί με ἐκ χειρὸς ἐχθρῶν μου
καὶ ἐκ τῶν καταδιωκόντων με.
ἐπίφανον τὸ πρόσωπόν σου
ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με
ἐν τῷ ἐλέει σου.
Ἐκεῖνοι μὲν οὖν ἀσθενισθέντες τὸν ἐμὸν
καλοῦσι θάνατον· ἐγὼ δὲ σὲ Θεὸν
οἶδα. καὶ πέποιθα. τοῦτο γάρ φησιν
ἐν ταῖς χερσί σου οἱ κλῆροί μου· ἢ
ὡς οἱ λοιποί, οἱ καιροί μου, ἀντὶ τοῦ

τοῦ τὸ ἀποκληροῖς ὡς θέλεις ἑκάστῳ
καὶ μεταβάλλεις πρὸς τὸ δοκοῦν και-
ροὺς γὰρ ἢ κλήρους τὰς τῶν πρα-
γμάτων μεταβολὰς φησὶ ἀθυμίας
καὶ θυμηδίας πλοῦτον καὶ πενίαν
καὶ τὰ ἄλλα τοιαῦτα.

„ Κε μὴ καταισχυνθείην ὅτι ἐπεκαλεσά-
„ μενώ σε αἰσχυνθείησαν ἀσεβεῖς καὶ
„ καταχθείησαν εἰς ᾅδου.

Αὐτὸς μὲν τῆς διὰ τῆς ἁμαρτίας γεγενη-
μένης αἰσχύνης ἀπαλλαγῆναι παρακα-
λεῖ τοὺς δὲ εὐσεβεία συζῶντας με-
τ' αἰσχύνης τῷ θανάτῳ παραπεμφθῶσι.

„ Ἄλαλα γενηθῶσι τὰ χείλη τὰ δόλια
„ τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνο-
„ μίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξου-
„ δενώσει

" καὶ ἐξουδενώσει

Τοῦ ἀχιτόφελ ἐνταῦθα προλέγει τὸν θάνατον ὃς φίλος ὢν τοῦ δαδ καὶ σύμβουλος τὸν παλαιὸν ἐγκρέμνωσε δόλον. καὶ κατὰ τοῦ μηδὲν ἠδικηκότος τὴν γλῶσσαν ἐκίνησεν ὑπερηφανίαν δὲ καὶ ἐξουδενώσει τὴν συμβουλὴν ἐκείνου εἰκότως ἐκάλεσε ἐπειδὴ παῖδα κατὰ τοῦ πρς διηγειρεν εἰς σφαγήν:

" ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου
" κε ἣν ἔκρυψας τοῖς φοβουμένοις
" σε ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ
" σοὶ ἐναντίον τῶν υἱῶν τῶν ἀνων

Τὸ ὡς ἐνταῦθα ἐπιτευκτικῶς τέθεικεν διὸ ἀκύλας καὶ σύμμαχος οὕτως ἡρμήνευσαν ἡ πολὺ τὸ ἀγαθόν σου ὃ ἔκρυψας ἀπὸ θεῖον τοῖς φοβουμένοις σε

τῶν φοβουμένων σοι φησὶ δέσποτα κρύπ-
τεις τὰ ἔπαθλα ταλαιπωρίαις δὲ προσ-
παλαίειν ἐᾷς· ἀλλ' ἔστι ὅτε καὶ γυμ-
νοῖς τὰ βραβεῖα παραθήσεσθαι τοῖς
ἀθληταῖς· τοῦτο γὰρ ἐπήγαγεν ἐξειρ-
γάσω τοῖς ἐλπίζουσιν:

» Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ
» τοῦ προσώπου σου ἀπὸ ταραχῆς
» ἀνθρώπων, σκεπάσεις αὐτοὺς ἐν
» σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν:

Τῶν γινομένων τοῖς φίλοις προμήθειαν κα-
τὰ μέρος διέξεισι· ἀρκεῖ σου φησὶν ἡ
ἐπιφάνεια· τοῦτο γὰρ καλεῖ πρόσω-
πον· πάσης αὐτοὺς ζάλης ἐλευθερῶ-
σαι καὶ ἀπολειφθέντας ἐν μέσῳ
καθάπερ τινὰ καλύψαι σκηνῇ καὶ
ἀφανεῖς ἀποφῆναι:

» Εὐλογητὸς κς ὅτι ἐθαυμάστωσε τὸ

ἔλεος

» ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς
Οὕτως ὁ σύμμαχος φησὶ εὐλογητὸς κύριος
ὁ παραδοξάσας τὸ ἔλεος αὐτοῦ ἐμοὶ
ὡς ἐν πόλει πεφραγμένῃ· ὥσπερ γάρ
με φησὶ περιέβαλε τῇ οἰκείᾳ φι=
λανθρωπίᾳ ὡς πόλιν ὀχυρῷ περι=
βόλῳ περιφράττουσι οἱ ἡνίοχοι.
Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου
ἀπέρριμμαι ἀπὸ προσώπου τῶν
ὀφθαλμῶν σου· διὰ τοῦτο εἰσήκου=
σας τῆς φωνῆς τῆς δεήσεώς μου
ἐν τῷ κεκραγέναι με πρὸς σέ
ἀγαπήσατε τὸν κύριον πάντες οἱ
ὅσιοι αὐτοῦ ὅτι ἀληθείας ἐκζη=
τεῖ κύριος καὶ ἀνταποδίδωσι τοῖς
περισσῶς ποιοῦσιν ὑπερηφανίαν
ἀνδρίζεσθαι καὶ κραταιούσθω ἡ καρ=
δία ὑμῶν πάντες οἱ ἐλπίζοντες ἐπὶ

„ ἐπὶ πλ.

Ὤμην δέ φησι τῇ ἁμαρτίᾳ πεσὼν τῆς
σῆς γεγυμνῶσθαι προνοίας· ἀλλὰ
τοὺς ταπεινούς μου θεασάμενος λο-
γισμοὺς οὐ παρεῖδες δεόμενον·
ἔκστασιν δὲ εἶπε τὴν ἁμαρτίαν
καλεῖ· ἐξέστης γὰρ τῆς θείας ὁδοῦ·
ὅρα δὲ καὶ τοῦ Δαβὶδ ἀρετήν· οὐ γὰρ
τὴν τῆς ἁμαρτίας, ἀλλὰ μικρὸν
ἔξωθεν τῆς οἰκείας γενόμενος προ-
αιρέσεως τὸν ὄλισθον ἐκεῖνον ὑπέ-
μεινεν· ἐν τούτοις ἐπὶ παραίνεσιν
μεταφέρει τὸν λόγον ἐκ τῶν κα-
θ' αὑτὸν τὴν θείαν ὑποδεικνὺς
φιλανθρωπίαν καὶ πρόνοιαν προ-
σήκει λέγων τοὺς τὴν θείαν βαδί-
ζοντας ὁδὸν ἐνθέσμως ἀγαπᾶν τὸν
οἷον τινὶ κανόνι τῇ ἀληθείᾳ χρώμενον

καὶ τοὺς

καὶ τοὺς ἄμετρον ἔχοντας ἀλαζονίαν
κολάζοντας οὐχ ἁπλῶς εἶπεν ταῖς
ποιοῦσιν ὑπερηφανίαν ἀλλὰ τοῖς
περισσῶς μέγιστον δὲ τοῦτο ἀγαθό=
τητος τὸ φέρειν τοὺς οὕτω πως μετα
φρονοῦντας ταῦτα οὖν εἰδότες οἱ
τῆς ἐλπίδος σιώτροφοι κραταιώατε=
ταὶ ψυχαὶ ὑμῶν πείθεσθαι τῷ
κυβερνήτῃ ὡς ἂν ἐκεῖνος ἐθέλοι

" Ψαλμὸς τῷ δαδ συνέσεως.

Καὶ οὕτως ὁ ψαλμὸς μετὰ τὴν ἁμαρ=
τίαν ἐν σκιαῖς ἐθρήνη ταῖς συμ=
φοραῖς ὡς προφήτης δὲ προβλέ=
πων τὴν τοῦ θείου βαπτίσματος
χάριν ἄφεσιν παρέχουσαν ἁμαρ=
τιῶν μακαρίζει τοὺς ἐν αὐτῇ ἄτε
δίχα πόνων τὰ πλημμελήματα

συγχωρουμένους

» Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ οἱ πο-
» ρευόμενοι
» Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι
» καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρ-
» τίαι μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογί-
» σεται κς ἁμαρτίαν οὐδέ ἐστι ἐν
» τῷ στόματι αὐτοῦ δόλος

Δάκρυσιν ἐγὼ θερμοῖς διὰ τὴν ἁμαρ-
τίαν προσκείμενος καὶ συμφοραῖς
περιπεσὼν μακαρίζω τοὺς ἀτα-
λαιπόρως τῷ ἀρεστῷ φιλανθρωπί-
α μόνῃ θεοῦ δεξαμένη τοσαύτη
γὰρ περὶ αὐτοὺς κέχρηται φιλοτιμία
ὡς μὴ μόνον ἀφεῖναι ἀλλὰ καὶ
καλύψαι τὰς ἁμαρτίας αὐτῶν ὡς
μηδὲ ἴχνος φαίνεσθαι

» Ὅτι ἐσίγησα ἐπαλαιώθη τὰ ὀστᾶ μου
ἀπὸ τοῦ

" ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν
Οὐχ ὡς ἴκα ἥμαρτε μετανοεῖ ἐχρήσατο ἀλ=
λὰ μετὰ τὸν ἔλεγχον τοῦ Νάθα
τοῦτο τοίνυν λέγει ὅτι δεξάμενος
τὴν πληγὴν οὐκ εὐθὺς ἔδειξα τὸ
ἕλκος τῷ ἰατρῷ ἀλλὰ κρύψας ἐπη=
θην κατεγήρασα δὲ τῆς ἁμαρτίας
κατηγορῶ.
" Ὅτι ἡμέραι καὶ νυκτὸς ἐβαρύνθη
" ἐπ' ἐμὲ ἡ χείρ σου
Πολιορκοῦμαι δὲ ταῖς παντοδαπαῖς παι=
δείαις βαλλόμενος τὸ γὰρ ἐβα=
ρύνθη ἐκ μεταφορᾶς τῶν τῇ χειρὶ
παιόντων καὶ ἐπιμενόντων ἄχρι
πολλοῦ τέθεικεν.
Ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμ=
παγῆναί μοι ἄκανθα:
Δικαία σου δὲ ἡ παιδεία ἀπαγαγάρμοι

ἡ ἁμαρτία ταύτης· ἄκανθα γὰρ τὴν
ἁμαρτίαν φησὶ ὡς ἄχρηστον καὶ
κεντεῖν πεφυκυῖαν:

Τὴν ἀνομίαν μου ἐγνώρισα καὶ τὴν
ἁμαρτίαν μου οὐκ ἐκάλυψα εἶπον
ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν
μου τῷ κυρίῳ καὶ σὺ ἀφῆκας τὴν ἀ-
σέβειαν τῆς καρδίας μου.

Εὐθὺς μὲν ἁμαρτῆσαι ἔστι πως
ἀλλὰ μετὰ ταῦτα ἐμαυτὸν ἀεὶ
κατηγορῶν εὕρηκα τὴν ἄφεσιν
σημειωτέον δὲ ὅτι οὐ τὴν ἁμαρ-
τίαν ἀφῆκας ἔφη ἀλλὰ τὴν ἀσέ-
βειαν τοῦτ' ἔστι πρὸς ἀξίαν οὐκ ἐ-
κόλασας ἀλλὰ τὴν ὑπερβολὴν ἀφεὶς
μετρίως ἐπαίδευσας ἔδει γὰρ φησὶ
ἐκεῖνα τολμήσαντα κατὰ νόμον
ἀποθανεῖν ἀλλὰ φιλανθρώποις μα-
τείαις παιδείαις ἰάτρευσας:

ἰατρεύουσα:

Ὑπὲρ ταύτης προσεύξεται πρός σε
πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ:

Εὔθετον λέγει καιρὸν τῆς καινῆς διαθήκης τὴν πολιτείαν ἐν ᾗ πάντες οἱ πιστοὶ τοῦ Δαβὶδ ἀναλαμβάνοντες πρόσωπον εὔχονται τοῖς αὐτοῦ ῥήμασιν:

Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν
πρὸς αὐτὸν οὐκ ἐγγιοῦσιν.

Οὕτως ὁ σύμμαχος περὶ τούτου προσεύξεται πᾶς ὅσιος καιρὸν εὑρών. ὡς ἐπικλύζοντα ὕδατα πολλὰ πρὸς αὐτοῦ μὴ ἐγγίσαι ὁ σπουδαῖος δηλονότι προσφέρω ἱκεσίαν παντοδαποὺς ἀποχάουσι προμηθείας ὥστε καὶ διαφόροις συμφοραῖς περιπέσοι οὐκέτι αὐτῶν ὑδάτων περικλυζούσαις κρείττων γενήσεται

» Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς
» περιεχούσης με· τὸ ἀγαλλίαμά μου
» λύτρωσαί με ἀπὸ τῶν κυκλωσάν-
» των με:

Εἰπὼν περὶ ἁμαρτίας τῶν διὰ τῶν
συμβάντων κακῶν εὔχεται εὐθέως
τυγχάνει δὲ ἀποκρίσεως:

» Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ
» ᾗ πορεύσῃ· ἐπιστηριῶ ἐπὶ σὲ τοὺς
» ὀφθαλμούς μου.

Ταῦτα φησὶ ὁ κς πρὸς αὐτόν· ἐπιγνόν-
τα δὲ τὴν ἐκτροπὴν ἐπανάξω πάλιν
εἰς τὴν εὐθεῖαν ὁδόν, καὶ γνώσω-
σιν ταύτης καὶ ἰθύνσιν εὐθύσω
μετὰ δώσω δέ σοι καὶ τῆς προτέρας
εὐνοίας. τοῦτο γάρ φησι ἐπιστηρι-
ῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς. ἐκ
μεταφορᾶς τῶν φιλικῶν πρός
τινας διακειμένη καὶ ἀεὶ βλέπειν

αὐτοὺς

αὐτοὺς ἐθελόντων.
Μὴ γίνεσθε ὡς ἵπποι καὶ ἡμίονος οἷς
οὐκ ἔστι σύνεσις ἐν κημῷ καὶ χα=
λινῷ τὰς σιαγόνας αὐτοῦ ἄγξειν
τῶν μὴ ἐγγιζόντων πρός σε. πολλαὶ
αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ τὸν
δὲ ἐλπίζοντα ἐπὶ τὸν ἔλεος κυκλώ=
σει.
Ἐντεῦθεν παραινεῖ τοῖς ἁμαρτάνουσι
μὴ ζηλοῦντι τῶν κτηνῶν ἀλογίαν
οὐδὲ μὴ πείθονται δεξόνται χαλιν
καὶ μήμον τούτοις παραπλησίως
διὰ τούτων τὰς παιδείας δηλοῖ
οὗ χάριν ἐπήγαγεν πολλαὶ αἱ μα=
στιγες τοῦ ἁμαρτωλοῦ τὸν δὲ ἐλ=
πίζοντα ἅπαν γὰρ ἄνθρωπος κᾂν
ἀρετῇ καλωπίζονται τῆς θείας
προσδεῖται χάριτος ἤ φησιν ὁ ἀπόστο
λος

χαρῇ ἐστὲ σεσωσμένοι

» Εὐφράνθητε ἐπὶ κύριον καὶ ἀγαλλιᾶσθε
» δίκαιοι καὶ καυχᾶσθε πάντες οἱ
» εὐθεῖς τῇ καρδίᾳ.

Εὐφράνθητε ἐπὶ κύριον· μηδεὶς οὖν ἐπὶ ὀρκίοις ἀγαλλέσθω ἀλλ' ἐκ τοῦ τὴν εὐθυμίαν καρποῦσθαι κατὰ τὸ ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω.

Ψαλμὸς τῷ Δαβὶδ ἀνεπίγραφος παρ' Ἑβραίοις

Τὸν ἀνεπίγραφον οἱ θεῖοι κατὰ τὴν ἑρμηνευταὶ μὴ ζήτησις φησὶ ἑρμηνείαν ἐπιγραφῆς· οὐ γὰρ εὕρομεν· εἰρῆσθαι δὲ ὁ ψαλμὸς ὑπὸ τοῦ μακαρίου Δαβὶδ εἰς τὴν κατὰ τὸν θαυμαστὸν Ἐζεκίαν ὑπόθεσιν· ἐσχηματίσθαι δὲ ὡς ἐξ αὐτοῦ τοῦ Ἐζεκίου εἰς ὑμνῳδίαν τὸν λαὸν

παροτρύνοντ

παραγγέλλουσι ὡς μετὰ τὴν νίκην. ἐχρῆν
Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ τοῖς εὐθέσι
πρέπει αἴνεσις:
Πανταχοῦ τὸ ἀγαλλιᾶσθε ὁ μὲν ἀκύ=
λας αἰνεῖτε ὁ δὲ σύμμαχος εὐφη=
μεῖτε ἡρμήνευσαν:
„ Ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ ἐν
„ ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ
„ ᾄσατε αὐτῷ ᾆσμα καινὸν καλῶς
„ ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ
Τοῖς τὸν θεὸν ἐγνωκόσι καὶ πλάνης ἀπη=
λλαγμένοις ἁρμόττειν δικαίως ἀνυμ=
νεῖν τὸν θεὸν εἶτα διδάσκει πῶς προ
σήκει καὶ ταῦτα μὲν τὰ μουσικὰ
ὄργανα κατὰ τὴν νομικὴν λατρείαν
ἁρμόττει δὲ καὶ ἡμῖν πνευματι
κῶς νοούμενα καὶ τοῖς νοητοῖς ὡς
ὀργάνοις χρωμένους τὸν θεὸν ὑμνεῖν

ἀλαλαγμὸς δὲ ἔσται ἐπινίκιος φησὶ
βοή:

» Ὅτι εὐθὺς ὁ λόγος τοῦ θεοῦ καὶ πάντα
» τὰ ἔργα αὐτοῦ ἐν πίστει

Δικαίως ἅπαντα ποιῶν φησὶ προσ-
τίθησιν ἡμῖν τὴν τῶν ἔργων αὐτοῦ
θεωρίαν πιστεύειν παρακαλῶ σὺ
πολυπράγμονη πῶς γεγένηνται

» Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν κύ-
» ριος τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ:

Μιμεῖσθαι προσήκει τὸν ποιητὴν καὶ
ὥσπερ αὐτὸς ἐλέῳ κεχρημένος οἰκο-
νομεῖ καὶ τοὺς ἠδικημένους οἰκτεί-
ρει. οὕτω δεῖ καὶ ἡμᾶς τοῖς μὲν ἀδί-
κοις ἀπονέμειν τὴν κρίσιν τοῖς δὲ
ἠδικημένοις τὸν ἔλεον εἰπὼν δὲ
τὴν πρόνοιαν δείκνυσιν καὶ τὴν
δημιουργίαν ἐκήρυξεν ἡ δὲ ἀλη-
θὴς θεολογίαν τὸν θεὸν ἐκήρυξεν

καὶ ὡς

καὶ ὡς ὁμοίων προμηθεῖται κτισμάτων
καὶ ἀλλοτρίων, τῷ λόγῳ γὰρ κυρίου οἱ
οὐρανοὶ ἐστερεώθησαν·
" Τῷ λόγῳ γὰρ κυρίου οἱ οὐρανοὶ ἐστερεώθη=
" σαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ
" πᾶσα ἡ δύναμις αὐτῶν.

Τὸ μὲν ἐξ ἐπιπολῆς νόημα καὶ κατὰ
τὸ γράμμα ὅτι λόγος αὐτῷ λόγος
μόνος εἰς δημιουργίαν ἤρκησεν
ἡ δὲ ἀληθὴς θεολογία τὸν θεὸν
ἡμῖν ὑποδείκνυσιν λόγον σὺν πατρὶ
πνεύματι καὶ τὸν ὁρατὸν καὶ τὸν ἀόρα=
τον ποιήσαντα κόσμον· δυνάμεις
γὰρ οὐρανῶν οὐχ ὥς τινές φασι
τοὺς ἐκ τοῦ οὐρανοῦ φωστῆρας ἀλλὰ
τὰς ἀσωμάτους οὐκ ἀπονέμει δὲ
τῷ λόγῳ τοὺς οὐρανούς τῷ δὲ πνεύματι τὰς
δυνάμεις ἀλλὰ καὶ ταῦτα κἀκεῖνα

αδιαιρέτως

καὶ τὸν πατρὸς λόγον καὶ τὸ ἅγιον πνεῦμα

Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης τιθεὶς ἐν θησαυροῖς ἀβύσσους

φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ:

ὡς ἐν ταμιείοις κλεισὶ τὴν τῶν ὑδάτων φύσεως ἐν τοῖς ἀφωρισμένοις καθεῖρξε χωρίοις καὶ εἰς ἀέρα ἕλκει ὅταν ἐθέλει ὡς ἀσκῷ ταῖς νεφέλαις σωρωθῷ(?) κατὰ τὸ ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ γῆς:

Ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην

ὅτι αὐτὸς εἶπεν καὶ ἐγενήθησαν

αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν

Τὸ σαλευθήτωσαν ὁ σύμμαχος εὐλαβηθήτωσαν ὁ δὲ ἀκύλας ὑποσαλεύσονται(?) φησί· ἐπειδὴ γὰρ οὐρανὸν καὶ θάλασσαν εἶπεν ἄγει καὶ τοὺς ἀν

ἀνθρώπους

ἀνθρώπους ἐν τῇ γῇ ὑπὸ τὴν δημι-
ουργίαν

Κς διασκεδάζει βουλὰς ἐθνῶν ἀ-
θετεῖν δὲ λογισμοὺς λαῶν καὶ ἀθε-
τεῖ βουλὰς ἀρχόντων ἡ δὲ βουλὴ
τοῦ κῦ εἰς τὸν αἰῶνα μένει λογισ-
μοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν
καὶ γενεάν :

Ταῦτα διπλῆν ἔχει οὐ γὰρ μόνον
τῶν ἀσυρίων διεσκέδασεν τὰς βου-
λὰς ἀλλὰ καὶ τῶν κατὰ τὴν οἰκου-
μένην ἐθνῶν τὰς κατὰ τῶν ἀπο-
στόλων ἐπαναστάσεις διέλυσεν
καὶ τὴν οἰκίαν ἔδειξε δύναμιν
τοῦτο γὰρ τῶν δύο γενῶν ἡ μνήμη
διδάσκει λογισμὸς γάρ φησι τῆς
καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενε-
άν

" Μακάριον τὸ ἔθνος οὗ ὁ θ(εὸ)ς αὐτοῦ· λαὸς
" ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.

Δεῖ φησὶν μακαρίζειν οὐ τοὺς πλούτῳ κομῶντας ἀλλὰ τοὺς τῷ θ(ε)ῷ πεποιθότας καὶ τῆς παρ' αὐτοῦ ῥοπῆς ἀπολαύοντας. ἐκλεκτὸς δὲ λαὸς κληρονομίαν θ(εο)ῦ προσαγορευόμενοι πάλαι μὲν ὁ ἰουδαϊκὸς νῦν δὲ ἐξ ἐθνῶν ἐπίλεκτοι:

" Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κ(ύριο)ς εἶδε πάν-
" τας τοὺς υἱοὺς τῶν ἀν(θρώπ)ων. ἐξ ἑτοί-
" μου κατοικητηρίου αὐτοῦ ἐπέβλε-
" ψεν ἐπὶ πάντας τοὺς κατοικοῦν-
" τας τὴν γῆν.

Ταῦτα ἐν τῷ τρίτῳ ψαλμῷ φησὶ τὴν αὐτὴν ποιούμενος πρόρρησιν καὶ ἐπειδὴ εἶπεν ἐπέβλεψεν ἵνα μή τις αὐτοῦ ἀγνοεῖν οἰηθῇ τὰ τῶν ἀνθρώπων εἰς καιρὸν ἐπήγαγεν ὁ

πλάσας

πλάσας κατὰ μόνας·

ὁ πλάσας κατὰ μόνας τὰς καρδίας
αὐτῶν ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα
αὐτῶν

Εἶπον φησὶ ἐπιβλέψαι οὐχ ὡς ἀγνο-
οῦντα τὸν θεὸν ἀλλ' ὡς κρίνοντα
πῶς γὰρ οἷόν τε ἀγνοεῖν τῆς ψυχῆς
τὰ κινήματα τὸν ταύτην πεποιηκό-
τα καρδίας γὰρ ἐπὶ τοῦ λογιστικοῦ
τέθεικεν

Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύνα-
μιν καὶ γίγας οὐ σωθήσεται ἐν
πλήθει ἰσχύος αὐτοῦ ψευδὴς ἵππος
εἰς σωτηρίαν ἐν δὲ πλήθει δυνά-
μεως αὐτοῦ οὐ σωθήσεται·

Διὰ τούτων ἐμφαίνει δὲ τῶν πραγμάτων
ὡς οὐδενὶ τούτων θαρρεῖν ἐν τού-
τοις γὰρ ὁ [illegible] πλούτων

„ οὐδὲν ἀπάνατο τί οἶω πορηκὸν
ὑπόδειξον·
„ Ἰδοὺ οἱ ὀφθαλμοὶ κῦ ἐπὶ τοὺς
„ φοβουμένους αὐτὸν τοὺς ἐλπί=
„ ζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ ῥύσα=
„ σθαι ἐκ θανάτου τὰς ψυχὰς αὐ=
„ τῶν· καὶ διαθρέψαι αὐτοὺς ἐν
„ λιμῷ ἡ δὲ ψυχὴ ἡμῶν ὑπομέ=
„ νει τῷ κῷ·
Ἁπάντων γάρ φησι τῶν ἀγαθῶν πρό=
ξενος ἡ εὐσέβεια τὴν γὰρ θείαν
προμήθειαν ἐφέλκεται ἃ τὴν καὶ
θάνατον ἐπιόντα κωλύει καὶ
ἐνδεᾶ χαρίζεται τῶν ἀγαθῶν
τὴν φορὰν εἰκὸς δὲ ἐπὶ τὸ πολυ=
ορκίας ἐν εἰρήνῃ ἐν σπάνει γενέσ
θαι τῶν ἀναγκαίων
„ Ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν

ἐστί

ἐπὶ ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ
καρδία ἡμῶν καὶ ἐν τῷ ὀνόματι
τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.

Τοσούτων τοίνυν ἀγαθῶν ἀπολαύ=
σαντες βεβαίαν ἔχομεν ἐπ' αὐτῷ
τὴν ἐλπίδα καὶ τὴν παρ' αὐτοῦ
βοήθειαν προσμένομεν ἀεί
αὐτὸς γὰρ ἡμῖν καὶ τὴν παροῦ=
σαν θυμηδίαν καὶ βοήθειαν
δεδώρηται εἶτα εἰρηκὼς ἐν τῷ
ὀνόματι αὐτοῦ ἠλπίσαμεν ἱ=
κετεύειν λαβεῖν ἰσόμετρον τῇ
ἐλπίδι τὸ ἔλεον γένοιτο φησὶ
κε τὸ ἔλεος σου ἐφ' ἡμᾶς:

Γένοιτο κε τὸ ἔλεος σου ἐφ' ἡμᾶς
καθάπερ ἠλπίσαμεν ἐπὶ σοί

Πεπέρασται δὲ μετρίως ὁ λόγος καὶ
τῆς καθ' ἡμᾶς τολμηρός τις γὰρ οὕτως

οὕτως ἤλπισεν ὡς θαρσαλέως εἰπὼν
τῇ ἐμῇ ἐλπίδι τὸν ἔλαιον μετέπη-
σον ὁμοιολόπαν τοῦ τῷ εἰρημέ-
νων ἐμῶ μετέστα αὐτῆ μετηπηθή-
σεται
„ ψαλμὸς τῷ δαδ ὁπότε ἠλλοίω-
„ σε τὸ πρόσωπον αὐτοῦ ἐναν-
„ τίον ἀβιμέλεχ καὶ ἀπέλυσεν
„ αὐτὸν καὶ ἀπῆλθεν
Τοῦ σαοὺλ θεασάμενος τὴν βασκα-
νον γνώμην ὁ δαδ καὶ συμβου
λίαν χειρωσάμενος τῷ ἰωαναθαν
ἀπέδραμ καὶ νομβαν τὴν πόλιν
κατέλαβεν ἐκεῖ τοίνυν ἀβιμέλεχ
τῷ ἱερεῖ συγγενόμενος ἔκευψεν
μὲν τὴν φυγὴν, ἀπεσταλθαι δὲ εἰρη-
κεν ὑπὸ τοῦ βασιλέως εἰς τινὰ χρεί-
αν σπουδαίαν καὶ ᾐτήσε ἄρτους

καὶ μετ

καὶ μὴ ἄρτων ἔλαβε παρὰ τοῦ ἱε=
ρέως τοὺς τοῖς ἱερεῦσιν ἀπονενε=
μημένους προσδιαγράφων τῆς χα=
ριτος τὰ μυστήρια ἀδιχοτόμως
πρόκειται πᾶσι πιστοῖς τότε καὶ τὴν
ἀνατεθεῖσαν παρ' αὐτοῦ τῷ θεῷ ῥομ=
φαίαν τοῦ γολιὰθ ἔλαβεν. ἀβι=
μέλεχ δὲ τὸν ἀβιάθαρ φησὶ ὡς
διώνυμον ἐπεὶ τοίνυν φεύγων
οὐκ ἐγνώρισεν τῷ ἱερεῖ τὴν φυγὴν
ἀλλὰ βασιλικὴν ἔφη χρείαν ἐξα=
νύειν. ἠλλοιοῦσθαι τὸ πρόσωπον λέγεται
ὡς μὴ τῇ ἀθωπεύτῳ χρησάμενος
ἀληθείᾳ τινὲς δὲ φασὶ ὅτι τοίνυν
πρὸς τὸν ἀγχοῦς ἐπελήλυθεν. εἶτα
φοβηθεὶς τοὺς τῶν ἀλλοφύλων

ἐπιβουλάς. κοσμῶν ἣν ἐσκήψατο
εἴρηκεν τὸν ψαλμὸν ὡς τούτῳ τῷ
τρόπῳ σρίας τυχών:
» Εὐλογήσω τὸν κν ἐν παντὶ καιρῷ
» ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου
» ἐν τῷ κῳ ἐπαινεθήσεται ἡ ψυχή μου
Καὶ φεύγων φησὶ καὶ διώκων καὶ εὐ-
κλεία καὶ δυσκλεία τὸν ἐμὸν
δεσπότην ἀνυμνῶ· αὐτὸς γάρ ἐμὲ
καὶ πεποίηκεν περιφανῆ καὶ περί-
βλεπτον
» Ἀκουσάτωσαν πραεῖς καὶ εὐφραν-
» θήτωσαν. μεγαλύνατε τὸν κν
» σὺν ἐμοί καὶ ὑψώσωμεν τὸ ὄνομα
» αὐτοῦ ἐπὶ τὸ αὐτό. ἐξεζήτησα τὸν
» κν καὶ ἐπήκουσέ μου καὶ ἐκ πα-
» σῶν τῶν θλίψεών μου ἐρρύσατό
» με

" ἱερουσαλὴμ
Οὐκ ἀνέχεται μόνος ὑμνῶν τὸν ὕμνον
ἀλλὰ τοὺς κοινωνοὺς τῆς πράσ=
τητος κοινωνοὺς ποιεῖται τῆς ὑμνω=
δίας εἶτα τῆς ἀχαριστίας ὑποδείκ
νυσιν τῶν ἀγίων ἐξετάζοντος φησὶ
τὸν καιρὸν ἱκέτευσεν φησὶ αὐτὸν
καὶ κρεῖττον ἐγενόμην τῶν συμ=
φορῶν
" Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσ=
" θητε καὶ τὰ πρόσωπα ὑμῶν οὐ
" μὴ καταισχυνθῇ
Ὁ γὰρ μετὰ πίστεως αὐτῷ προσιὼν φω=
τὸς ἀκτῖνας δέχεται νοερῶν οὕτω
καὶ μωυσῆς τὸ πρόσωπον ἐδοξάσ
θη οὕτω προτρέψας τοὺς ὁμοτρόπους
ἑαυτοῦ προτίθησιν τύπον
" Οὗτος ὁ πτωχὸς ἐκέκραξεν καὶ ὁ κύ

" εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν
" τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν
Μάθετε φησὶ ἐκ τῶν κατ' ἐμὲ θαρρεῖν
τῷ τῶν ὅλων θεῷ εὐτελὴ γὰρ ὄντα
καὶ πρόβατον :· ἀμυνθῆναι ἠξίωσεν
" παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν
" φοβουμένων αὐτὸν καὶ ῥύσεται
" αὐτούς :
Τούτοις καὶ τοῖς ἀποστόλοις συμφωνεῖ
λέγων περὶ τῶν ἀγγέλων οὐχὶ πάντες
εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακο-
νίαν ἀποστελλόμενα διὰ τοὺς μέλ-
λοντας κληρονομεῖν σωτηρίαν. οὕτω
καὶ ζαχαρίας ὁ ἄγγελος φησὶ ὁ λαλῶν
ἐν ἐμοί :
" Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος μα-
" κάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν ;
Εἰκότως προσελθεῖν προτρέπει καὶ

γεύσασθε

γεύσασθε τῇ πείρᾳ φησὶ μάθετε τὴν ἀγα=
θότητα τοῦ δεσπότου μακαρισμόν
γὰρ ἐν τούτῳ γευσήσεσθε καὶ ταῦ=
τα μὲν κατὰ τὸ γράμμα ὁ δὲ κρυπ=
τόμενος νοῦς τῶν θείων μυστηρίων
τὴν χάριν αἰνίττεται διὰ γὰρ τοῦ
θείου βαπτίσματος ὁ ἀληθὴς ἐγί=
νεται φωτισμὸς καὶ τῆς ζωοποιοῦ
τροφῆς τῇ γεύσει τὴν τοῦ σωτῆρος
δείκνυσιν ἀγαθότητα ἡ γὰρ οὕτως
σοφῶς αὐτοῦ τὴν φιλανθρωπίαν
δείκνυσι ὡς οὐ περὶ ἡμῶν διὰ
σταυροῦ θάνατον γενέσθαι καὶ τῶν
οἰκείων προβάτων τροφὴν ὁμοῦ
καὶ ποτόν:

Φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐ
τοῦ ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φο=
βουμένοις αὐτόν πλούσιοι ἐπτώχευ
σαν

„ καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν
„ κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγα-
„ θοῦ. δεῦτε τέκνα ἀκούσατέ μου· φό-
„ βον κυρίου διδάξω ὑμᾶς:

Σύμφωνα καὶ ταῦτα τοῖς ἄνωθεν πα-
ραγγέλει γὰρ τοῖς ἀγαθοῖσι διὰ βαπ-
τίσματος φόβῳ τὴν ἀγάπην κερά-
σαι καὶ τῶν ἀγαθῶν τὴν ἀφθο-
νίαν ἐκεῖθεν προσμένειν· ὁ γὰρ
πλοῦτος πολλὰς ἔχει μεταβολάς·
ἀμέλει καὶ ἰουδαῖοι πάλαι πλου-
τοῦντες τῇ τοῦ θεοῦ εὐδαιμονίᾳ
ἀπιστήσαντες ταύτης ἐξέπεσον·
τὰ δὲ ἔθνη πτωχεύοντα πρὶν τὸν
θεὸν ἐκζητοῦντα ἐπλούτησαν:

„ Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν ἀγα-
„ πῶν ἡμέρας ἰδεῖν ἀγαθάς·

Προστεθεικὼς οἱονεὶ ἆθλον ἀξιέραστον

τὴν ζωὴν

τὴν ζωὴν τὴν ἄλυπτον· καὶ τὴν περιπόθητον
ἐπὶ τοὺς ἀγῶνας προτρέπειν:

Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ
καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δό=
λον ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίη=
σον ἀγαθὸν ζήτησον εἰρήνην καὶ δίω=
ξον αὐτήν

Πρότερον ἀποτρέπει κακοῦ· εἶθ' οὕτως τὰ=
της ὀργῆς μεθεῖναι κελεύειν καὶ
πρῶτον τὴν γλῶσσαν. ὡς εὐόλισθον
μόριον καθαρεύειν παντὸς δόλου
παρεγγυᾷ ἢ σιωπᾶν τὰ χείλη ὡς
ὑπουργοῦντα τοιαύτης κακίας ἐπα=
γορεύειν τὴν πρᾶξιν ἔπειτα τῶν ἀγα=
θῶν ἐνέργειαν νομοθετεῖ καὶ τὸ
κεφάλαιον εἰρήνην ζήτησον γάρ
φησιν εἰρήνην ὁ γὰρ πρὸς ἅπαντας
εἰρήνην ἀσπαζόμενος οὔτε κρύβω
:

τὰ τοῦ πέλας συμφέρεται· οὐ λέγει κα-
κῶς οὐ πράττεις κακῶς· εὐεργετεῖ-
δὲ μᾶλλον συγχαίρειν σπουδάζει καὶ συνα-
γωνίζεται:
» Ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους καὶ ὦτα
» αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον
» δὲ κυρίου ἐπὶ ποιοῦντας κακὰ τοῦ ἐξο-
» λοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον
» αὐτῶν:
Ἐποπτεύονται φησὶν οἱ ταῦτα δρῶντες
παρὰ θεοῦ καὶ τῶν αἰτουμένων τυγ-
χάνουσι ἀγαθῶν· εἶτα ἐκ τοῦ ἐναντί-
ου οἱ δὲ τολμῶντες τὰ ἐναντία φησὶ
πανωλεθρίας δέχονται ψῆφον:
» Ἐκέκραξαν οἱ δίκαιοι καὶ ὁ κύριος εἰσή-
» κουσεν αὐτῶν καὶ ἐκ πασῶν τῶν
» θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς·
» ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν
» καρδίαν καὶ τοὺς ταπεινοὺς τῷ

πνί

" τῷ πνὶ σώσει. πολλαὶ αἱ θλίψεις τῶν
" δικαίων καὶ ἐκ πασῶν αὐτῶν ῥύ=
" σεται αὐτοὺς ὁ κς̄ φυλάσσει κς̄ πάν=
" τα τὰ ὀστᾶ αὐτῶν ἓν ἐξ αὐτῶν οὐ
" συντριβήσεται
Πάρεστι φησὶ τοῖς δικαίοις ὁ δεσπότης
καὶ τὰς τούτων ἀσμένως δέχεται
προσευχάς. διαφερόντως δὲ κήδεται
τῶν μετρίων κεκτημένων φρονή=
ματι τούτους γὰρ φησὶ συντετριμ=
μένους τῇ καρδίᾳ συγχωρεῖ μὲν
γὰρ αὐτοῖς εἰς τῶν θλίψεων κα=
τιέναι γυμνάσιον ἐπαρκεῖ δὲ καὶ
κρείττους ἀποφαίνει τῶν συμφο=
ρῶν κρατύνων αὐτῶν τοὺς λογισ=
μοὺς οὓς . . . τά φησι ὡς γὰρ τὸ σῶ=
μα δι' ὀστῶν φέρεται οὕτως ἡ ψυχὴ διὰ
τῶν λογισμῶν:
Θάνατος ἁμαρτωλῶν πονηρὸς καὶ οἱ μισοῦν=
τες

" μισοῦνται τὸν δίκαιον πλημμελήσουσι
" πάσιν λυτρώσεται τὰς ψυχὰς δούλων
" αὐτοῦ καὶ οὐ μὴ πλημμελήσουσι πάν=
" τες οἱ ἐλπίζοντες ἐπ' αὐτόν

Οἱ μὲν οὖν τῆς ἀρετῆς ἐρασταὶ τὸ σοῦτον
ἀγῶμαν ἀπολαύουσι οἱ δὲ πονηρία
συζῶντες προσφυᾶ δέχονται τὴν τελευ=
τὴν τῇ ζωῇ καὶ πονηρᾶς βιωτῆς πονη=
ρὸν ἔσται τὸ τέλος οἱ δὲ τοῦ θεοῦ τὴν
θεραπείαν ἀνεχόμενοι καὶ τὴν εἰς
αὐτὸν ἐλπίδα κτησάμενοι τῆς παρ'
αὐτὸν τεύξονται σωτηρίας ἀλλ' οὐ πλη=
μμελῆσαι παντελῶς εἰσοῦς ἐπ' αὐτοῦ
τεθέντας οὐκ ἀνεχόμενος νόμους:

" Ψαλμὸς τῷ δαδ, λδ,

Καὶ τοῦτον ὡς αὔτως τὸν ψαλμὸν ὁ μα=
κάριος εἴρηκεν δαδ ὑπὸ τοῦ σαοὺλ
διωκόμενος μέμνηται δὲ καὶ τῇ σου=
δοῦ πονηρίας. αὐτὸς γὰρ ἐμήνυσε

τοῦ σαοὺλ

τοῦ σαοὺλ τὰ κατὰ τὸν ἀβιμέλεχ τὸν
ἱερέα καὶ πρόξενος τῆ ... τῆς μιαι-
φονίας ἐγένετο μέμνηται δὲ καὶ τῶν
ζιφαίων καὶ τῶν ἄλλων οἱ τοῦ δαδ
τοῦ σαοὺλ κατεμήνυσαν ὡς αὐτὰ
διδάξει τὰ ῥήματα:

Δίκασον κε τοὺς ἀδικοῦντάς με πολέμη=
σον τοὺς πολεμοῦντάς με

Καλὴ τῶν εἰρημένων ἡ τάξις καὶ τῇ
τοῦ δικαίου πρέπουσα προσευχῇ
ᾔτησαι γὰρ πρότερον δικάσε τὸν
τῶν ὅλων θεόν εἶθ' οὕτως ἐπαγα=
γεῖν τῆς τιμωρίας τὴν ψῆφον:

Πολέμησον τοὺς πολεμοῦντάς με
ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ
ἀνάστηθι εἰς τὴν βοήθειάν μου ἔκ=
χεον ῥομφαίαν καὶ σύγκλεισον
ἐξ ἐναντίας τῶν καταδιωκόντων με

Πολεμίου μνημονεῦσαι, ἀναγκαίως καὶ
τῶν ὅπλων τὰ εἴδη προσέθηκεν
τῷ σχήματι τῆς πανοπλίας ἐκδειμα-
τῶν τοὺς πονηρίᾳ συζῶντας· οὐδὲ
γὰρ τοιούτοις ὅπλοις κέχρηται ὁ
θεὸς κολάζων τοὺς ἀδικοῦντας
ἀρκεῖ δὲ ὁ λόγος αὐτῷ εἰς τιμ-
ωρείαν ἐσχάτην:
” Εἶπον τῇ ψυχῇ μου σωτηρία σου
” εἰμὶ ἐγώ:
Ἀρκεῖ μοι ταῦτα φησὶ ὁ λόγος εἰς
σωτηρίαν· ἐπεὶ γὰρ ὅπλων
ἐμνημόνευσεν:
” Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν
” οἱ ζητοῦντες τὴν ψυχήν μου ἀποστρα-
” φήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισ-
” χυνθήτωσαν οἱ λογιζόμενοί μοι
” κακά. γενηθήτωσαν ὡσεὶ χνοῦς

κατὰ

κατὰ πρόσωπον ἀνέμου:
Εἰκότως ἐδίδαξεν ὡς οὐχ ἑπέζη τούτω
θές ἀλλὰ λόγον μόνον καὶ κολά=
ζει καὶ ἐνέργει τὸ δὲ αἰσχυνθήτωσαν
διαμαρτῶσι φησὶ οὗ τυραννοῦσι καὶ
γένηται αὐτοῖς αἰσχύνη τῆς πονη=
ρίας ἐπίχαρπτα:
Καὶ ἄγγελος κυρίου ἐκθλίβων αὐτοὺς
γενηθήτω ἡ ὁδὸς αὐτοῦ σκότος καὶ
ὀλίσθημα καὶ ἄγγελος κυρίου καταδιώ=
κων αὐτούς:
Τρέψον αὐτοὺς εἰς φυγὴν τῶν ἀο=
ράτοις ἀγγέλοις ἐπιτρέπων τὴν δί=
ωξιν σκότος δὲ καὶ ὀλίσθημα τὴν
καταπτῶσι φησί. καὶ διελκύσεις τῆς εὐ=
χῆς τὸ δίκαιον ἐπάγει ὅτι δωρεάν:
Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθο=
ρὰν παγίδος αὐτῶν μάτην ὠνείδισαν

τὴν

" τὴν ψυχήν μου

Ἀδίκοις φησὶ ἐπιβουλαῖς κέχρηνται
κατ' ἐμοῦ· τὸ δὲ ὠνείδισαν ὁ σύμμα-
χος ὑπώρυξαν εἴρηται· αἰνίττεται
δὲ τὸ κρύβδην κατασκευαζόμενον
ὄλεθρον:

" Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει
" καὶ ἡ θήρα ἣν ἔκρυψεν συλλα-
" βέτω αὐτόν. καὶ ἐν τῇ παγίδι πε-
" σεῖται ἐν αὐτῇ.

Οἷς κατασκευάζουσι φησὶ περιπέσοις
καὶ τοῖς ὑπ' αὐτῶν δικτύοις ἐμπέσοις
καὶ ἀπροσδόκητον ὑπομεῖναι ἐν
θήραν. τοῦτο γάρ ἐστι παγὶς ἣν
οὐ γινώσκει·

" Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ
" κυρίῳ τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ
" αὐτοῦ· πάντα τὰ ὀστᾶ μου ἐροῦσι

κ͞ε κ͞ε

κε κε τις ὅμοιός σοι ῥυόμενος πτω=
χὸν ἐκ χειρὸς στερεωτέρων αὐτῶν
καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν
διαρπαζόντων αὐτῶν
Ἐγὼ δὲ καὶ θυμηδίαν καὶ εὐφρο=
σύνην ἐπὶ τοῖς σοῖς ἀγαθοῖς καρ=
πώσομαι δέσποτα καὶ διὰ παν
τός μου μνείων μόνον σε εἶναι
βοηθὸν θεὲ τὸ γὰρ τίς ὅμοιός σοι
τοῦτο δηλοῖ ὅτι μόνος ὑπάρχεις
θεὸς κατὰ πάντων ἔχων τὸ κρά=
τος οὐκ ἐᾷς γὰρ ὑπὸ τῶν δυνα=
τωτέρων πολιορκεῖσθαι τοὺς πενε=
στέρους ἀλλὰ κἀκείνους ἔχεις·
καὶ τούτοις ἐπαμύνεις·
Ἀναστάντες μοι μάρτυρες ἄδικοι ἃ
οὐκ ἐγίνωσκον ἠρώτων με·

Συκοφαντίαν φησὶ ὑπέμεινα· ἃ μὴ
ἐλογισάμην κατηγορούμενος· ἐπει-
δὴ γὰρ τοῦ φθόνου βαλλόμενος ὁ
σαοὺλ τυραννήσειν αὐτὸν ὑπώπ-
τευσεν καὶ τούτου χάριν πολεμῶν
διετέλει χώρας λαβόντα οὐ βασ-
καίνοντα τὰς κατ' αὐτοῦ συκοφαντί-
ας οὐκ ἔληγε τὸν ἐάπτον
›› Ἀνταπεδίδωσάν μοι πονηρὰ ἀντὶ ἀγα-
›› θῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσε-
›› ώς μου καὶ ἀτεκνίαν τῇ ψυχῇ μου:
Ἐγὼ μὲν γὰρ τὸν γολιὰθ ἀνεῖλον· καὶ
ἀλλοφύλους κατηγωνισάμην πολλά-
κις καὶ τοῖς ποικίλοις κρούμασι τὸν
δαιμονιῶντα αὐτὸν ἠλευθέρουν μανί(ας)·
αὐτὸς δέ μοι πολεμῶν οὐ παύεται
θανατῶσαι βουλόμενος καὶ τῷ θανάτῳ
παραδοῦναι

παραδοῦναι ἀτεκνίαν γὰρ τὴν λήθην ὠνόμασεν ὡς διὰ τῶν παίδων φυλαττομένης τῆς μνήμης διὸ δὴ καὶ ὁ θεὸς διὰ ἠσαΐου φησὶ μὴ λεγέτω ὁ εὐνοῦχος ὅτι ἐγὼ εἰμὶ ξύλον ξηρὸν ὅτι τάδε λέγει κύριος τοῖς εὐνούχοις τοῖς ἐκλεγομένοις ἃ ἐγὼ θέλω δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει μου τόπον θαυμαστὸν καὶ ὄνομα ἀγαθὸν κρείττον υἱῶν καὶ θυγατέρων.

Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς πανενοχλεῖν μοι ἐνεδυόμην σάκκον καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται

Ἐντεῦθεν παιδευόμεθα πῶς δεῖ
λύειν τὰς συμφορὰς σάκκον
φησὶν ἀμπεχόμενος καὶ νηστεία
κατατηκόμενος τῷ θεῷ τὴν ἱκεσί-
αν προσέφερον καὶ ἐδεχόμην
τῆς αἰτήσεως τοὺς καρποὺς τὸ γὰρ
εἰς προσαχῶ εἰς κόσμον τοῦτο
σημαίνει ἀντὶ τοῦ προσευχόμενος
ἐδεχόμην παρὰ τοῦ θεοῦ τὰς αἰτή-
σεις καὶ τὸν κόλπον ἐπλήρουν:
ὡς πλησίον ὡς ἀδελφὸν ἡμέτερον
οὕτως εὐηρέστουν ὡς πενθῶν
καὶ σκυθρωπάζων οὕτως ἐταπει-
νούμην:
Πᾶσαν αὐτῷ φησὶ θεραπείαν ὡς ἀδελ-
φῷ γνησίῳ προσέφερε καὶ ἀσχά-
λλοντος καὶ πενθοῦντος ἐμιμούμην

ταπείνωσιν

ταπεινώσει μου φορῶ ἐπὶ τοῖς κατορ=
θώμασιν μέγα τοῦτο καὶ ἡ ἱστορία
διδάσκει τοῦ γὰρ σαοὺλ εἰς ἐπηκό=
τος ἐκεῖ σὺ τέκνον δαδ ἀπεκρί=
νατο δοῦλος σὸς κέ μου βασιλεῦ
καὶ πάλιν ἵνα τί διώκει ὁ κς μου
ὁ βασιλεὺς ὀπίσω κυνὸς τεθνη=
κότος καὶ ὀπίσω ψύλλου ἑνός:

,, Καὶ κατ' ἐμοῦ εὐφράνθησαν καὶ συν=
,, ήχθησαν ἐπ' ἐμὲ μάστιγες καὶ οὐκ
,, ἔγνων

Αὐτοὶ δὲ μετὰ πλήθους ἐπ' ἐμὲ ἀνε=
λεῖν προσδοκῶντες, καὶ ἐξ ἀπηνοῦς
πρὸς ἔναλον ἔλθη ἀφοσιοῦνται πει
ρώμενοι τὸ γὰρ συνήχθησαν ἐπ'
ἐμὲ μάστιγες οὕτως εἰρημένη ὁ σύμ
μαχος συνήγοντο κατ' ἐμοῦ πλῆκ
ται

καὶ οὐκ ᾔδειν·

» Διεσχίσθησαν καὶ οὐ κατενύγησαν

Καὶ διαμαρτόντες φησὶν τῆς ἐλπίδος
καὶ σκεδασθέντες οὐ μετεβλήθη-
σαν ἐφ' οἷς κακῶς ἐβουλεύσαν-
το ἀλλὰ αὖθις τοῖς αὐτοῖς ἐπε-
χείρησαν.

» Ἐπείρασάν με ἐξεμυκτήρισάν με
» μυκτηρισμόν ἔβρυξαν ἐπ' ἐμὲ
» τοὺς ὀδόντας αὐτῶν

Διὰ πάσης φησὶ ὥδευσαν πείρας
καὶ θωπείας δελεάζειν πειρώμενοι
καὶ λεόντειον βρυχώμενοι καὶ
φονῶντες·

» Κύριε πότε ἐπόψῃ ἀποκατάστησον τὴν
» ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν

Τοῦτο οὐκ ἐγκαλῶν εἶπεν ἀλλὰ

πόθω

τῷ πόθῳ τὴν βοήθειαν ποιεῖ φησὶ
ἐπιφανῆ καὶ ἐπαμύνουσαν ἤδη κιν=
μένων κρείττονα οὖν τὴν ψυχὴν
τὸν μονοχαντημάτων ἀπὸ φθόνον
καὶ ἔνσαι:
Ἀπὸ λεόντων τὴν μονογενῆ μου:
Εἰρηκὼς ἄνω ἔδειξαν λεόντων
δὲ ἴδιον ὁ βρυχμὸς εἰκότως
αὐτοὺς καὶ λέοντα φησὶ τὸ θηρι-
ῶδες ἐξελέγχων τῆς γνώμης
ὁ δὲ σύμμαχος τὴν μονογενῆ
τὴν μονότητά μου ἠρμένη ἀντὶ
τοῦ τὴν πάσης αὐτῆς ἔρημον
βοηθείας:
Ἐξομολογήσομαί σοι ἐν ἐκκλη=
σίᾳ πολλῇ ἐν λαῷ βαρεῖ ἐνέσωσε

Ὁ σύμμαχος ἐν λαῷ παμπληθεῖ προ=
φητεία δὲ αὕτη ἐκκλησίας γὰρ
πολὺ καὶ λαῷ παμπληθεῖ ταῖν τὴν
κατὰ τὴν οἰκουμένην ἐκκλησίαν
φησὶ ἐνοῖς διὰ τῶν πιστῶν τοῦ
θῦ ὑμνεῖται:
„ Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι
„ ἀδίκως οἱ μισοῦντές με δωρεὰν
„ καὶ διανεύοντες ὀφθαλμοῖς ὅτι
„ ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν καὶ
„ ἐπ' ὀργὴν δόλους διελογίζοντο:
Ἐνταῦθα πάλιν τὴν τοῦ σαοὺλ μνη=
μονεύει ὡς φιλανθρωπίας ὑποκει=
νομένων καὶ τὰ πολεμίων ὁρῶν
το. φιλικοὺς γὰρ χρώμενοι λό=
γοις ὡς ἐν γῇ τινὶ τὸ δόλου πλήρει
διάνοιαν αὐτῶν κατασκευῆ τὴν τῶν

ὀργὴν

τὴν ὀργὴν ἐστήρωντο·

" Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐ-
" τῶν εἶπαν εὖγε εὖγε εἶδον οἱ ὀφ-
" θαλμοὶ ἡμῶν·

Θεασάμενοι δέ με τῇ ἐπιβουλῇ αἰ-
σθόμενον ἐμήνυσαν λοιπὸν
τὴν κεκρυμμένην δυσμένειαν
μετὰ φωνῆς ἐφηδόμενος ταῖς
ἐμαῖς συμφοραῖς·

" Εἶδες κύριε μὴ παρασιωπήσῃς μὴ ἀ-
" πέστῃς ἀπ' ἐμοῦ ἐξηγέρθητι κύριε
" καὶ πρόσχες τῇ κρίσει μου ὁ θε-
" μου καὶ ὁ κύριός μου εἰς τὴν δίκην
" μου

Κριτὴς εἶ δέσποτα ἐφορᾷς ἅπαντα
καὶ οὐδέν σου διαφεύγει τὴν ἐπο-
ψίαν μὴ παρίδῃς τὰ πεπραγμέ-
να μηδὲ τῇ σῇ προνοίᾳ

ἔρημον καταστήσῃς ἀλλὰ δὸς τὴν ψῆ-
φον ταχέως δικάσας μου τὴν δί-
κην

" Κρῖνόν με κε κατὰ τὴν δικαιοσύνην
" σου κε ὁ θεός μου καὶ μὴ ἐπιχα-
" ρείησάν μοι μὴ εἴποισαν ἐν καρ-
" δίαις αὐτῶν εὖγε εὖγε τῇ ψυ-
" χῇ ἡμῶν μηδὲ εἴποισαν κατα-
" πίομεν αὐτόν

Εἰ γὰρ ἀναβάλοις τὴν δίκην ὦ δέσποτα
ἐπιτωθάσουσι πάλιν ἐκεῖνοι καὶ
πρόφασιν θυμηδίας τὰς ἐμὰς
ὀδύνας ποιήσονται καὶ οἰκείαν ε-
ὐημερίαν ποιήσονται τὴν ἐμὴν
δυσκληρίαν.

" Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν
" ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς
μου

» κακοῖς μου ἐνδυσάσθωσαν αἰσ=
» χύνην καὶ ἐντροπὴν οἱ μεγαλορρη
» μονοῦντες ἐπ' ἐμέ· ἀγαλλιάσθωσαν
» καὶ εὐφρανθήτωσαν οἱ θέ-
» λοντες τὴν εἰρήνην τοῦ δούλου
» αὐτοῦ

Καθ' ἀλλήλους ἡ αἰσχύνη τοῖς ἐπικερ=
τομοῦσι τοὺς πέλας· διὸ τοῖς ἀλα=
ζῶσι ταῦτα ἐπεύξατο· ἀγαλλόμε=
νοι δὲ καὶ χαίροντες διατελέσειν
οἱ τὰ ἀγαθά μου βουλόμενοι καὶ
τῆς εἰρήνης τῆς ἐμῆς ἐφιέμενοι
καὶ ταύτης τυχόντα θεασάμενοι
δὲ τὸν δεσπότην ὑμνήσουσιν· παρ=
ακαλῶ δὲ τοὺς ἐντευξομένους
μηδὲ μίαν βλάβην ἐκ τῆς τοῦ
δικαίου δέξασθαι προσευχῆς

δὲ πρόφασιν εἰς τὰς κατὰ τῶν ἐχ=
θρῶν ἀρὰς ἐντεῦθεν κομίσα=
σθαι· οὐκ ἐπαρώμενος γὰρ ταῦτα
ἔλεγεν ἀλλὰ προφητικῶς ἔφασ=
κεν τὰ πάντως ἐσόμενα· οἱ δὲ
τὶς κακῶς νοῶν δυσχερέξεται
ὡς γὰρ ἀρὰ εἶναι ταῦτα ἐκεῖνο
λογιζέσθω ὅτι ὁ μὲν Δαδ ὑπὸ
τὸν νόμον ἦν τὸν λέγει ἀγαπήσεις
τὸν πλησίον σου καὶ μισήσεις τὸν
ἐχθρόν σου. ἡμεῖς δὲ θείαν
ἐλάβομεν ἐντολὴν ἀγαπᾶν τοὺς
ἐχθρούς:
" Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δι=
" καιοσύνην σου ὅλην τὴν ἡμέραν
" τὸν ἔπαινόν σου
Ἐγὼ δὲ τῆς σῆς προνοίας ἀπολαύσας

νύκτωρ

μυκτωφθῆ καὶ μετὰ ἡμέραν ταῖς
σαῖς ἐντολαῖς μελέτην ποιήσω
μαι καὶ διηνεκῶς τοσοῦ ταῖς εὐερ=
γεσίαις ἐμεμνήσω τὸ γὰρ ὅλην
τὴν ἡμέραν πᾶσαν ἡμέραν
ὁ σύμμαχος εἴρηκεν.
Εἰς τὸ τέλος τῷ δούλῳ κῦ τῷ δαδ.
Ἡνίκα τὸν σαοὺλ ὑποχείριον λαβὼν
οὐκ ἀνεῖλεν ἀλλὰ τὸν φακὸν τοῦ
ὕδατος καὶ τὸ πτερύγιον τῆς δι=
πλοΐδος καὶ τὸ δόρυ ἔλαβεν καὶ
τῷ σαοὺλ ἀπὸ τῆς ἀκρωρίας
ὑπέδειξεν τηνικαῦτα τοῦ σαοὺλ
μεθ' ὅρκον τὴν μεταμέλειαν
ὑποκριθέντος καὶ λόγους εὐνοί=
ας κεχρωμένους προϊεμένου τὸν

τὸν ψαλμὸν τοῦτον εἴρηκεν ὁ
δαδ κατηγορῶν τῶν πονηρία
συζώντων καὶ τὴν μεταμέλειαν
ὑποκριθέντος· καὶ λόγους εὐνοίᾳ
κεχρωσμένα προϊεμένου τοῦ
ψαλμοῦ τοῦτον εἴρηκεν ὁ δαδ
κατηγορῶν τῶν πονηρία συζών=
των. καὶ τὴν τοῦ θῦ κρίσιν
πρόνοιαν ἐπεὶ καὶ θεολογεῖ καὶ
προφητεύει διὸ καὶ εἰς τὸ τέλος
ἐπιγέγραπται

" Φησὶ ὁ παράνομος τοῦ ἁμαρτάνειν
" ἐν ἑαυτῷ

Ἀντὶ τοῦ ἔχουσι ὁ κακία συντεθρα=
μένα καὶ δεῖνα θησαυρῷ τῆς ψυ=
χῆς αὐτοῦ τὰ κεκρυμμένα βου

βουλεύματα

βουλεύματα.
» Οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν
» ὀφθαλμῶν αὐτοῦ
Αἴτιον φησὶ τοιαύτης ἀναλγησίας
τὸ μὴ δεδιέναι τὸν πάντα ἐφορῶν-
τα θεόν
» Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ
» τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ
» καὶ μισῆσαι
Ἑκὼν δὲ ταύτην ἔχει τὴν ἄγνοιαν
οὐ βουλόμενος λογιστεῦσαι τὰ
πεπραγμένα καὶ μισῆσαι κακῶς
πεπραγμένα.
» Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνο-
» μία καὶ δόλος οὐκ ἠβουλήθη συνι-
» έναι τοῦ ἀγαθῦναι ἀνομίαν διελο-
» γίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ παρέστη

" παρέσῃ πάσῃ ὁδῷ οὐκ ἠράσθη κακία
" δὲ οὐ προσωχθίσα
Λόγοις οὐκ ἀληθέσι χεῖλας ἀλλὰ δόλῳ
συμπεπλεγμένοι· σιωπῶ δὲ τὸ
πρέπον οὐ βούλεται ἀλλὰ κακῶς
πονηρὰ ζωγεύει τὸ πάλαι καὶ μεθ'
ἡμέραν πλήρωσιν ἐπιχειρεῖ τὰ βου-
λεύματα ἀληθῶς δέ. τὸ μὴ βδελύτ-
τεσθαι αὐτὸν τῆς πονηρίας τὰ εἴδη
τὸ δὲ οὐ προσωχθήσειν ὁ ἀκύλας
οὐκ ἀπείρῳ οὐδὲ σύμμαχος
οὐκ ἀπεδοκίμασε θεοδοτίων δὲ
οὐκ ἀπόστολο ἑρμηνεύει·
" Κέ ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου καὶ ἡ
" ἀλήθειά σου ἕως τῶν νεφελῶν ἡ
" δικαιοσύνη σου ὡς ὄρη θεοῦ τὰ κρί-
" ματά σου ἄβυσσος πολλή

„ ἄβυσσος πολλή:
Σὺ δὲ φησὶν ἔχεις ἔλαιον ἀμέτρη-
τον ἀλήθεια ἀστάθμητον δικαιο-
σύνην ὄρεσι παραβαλλομένη χω-
ρεῖ δὲ σου ἡ ἀλήθεια μέχρι
ἀνθρώπων διὰ τῶν προφητῶν
ὡς διά τινων νεφελῶν τινος οἶον
ἕνεκεν μακροθυμεῖν φησιν
ἀνέφικτος γάρ σου τῶν κριμάτων
ἡ κατανόησις
„ Ἀνθρώπους καὶ κτήνη σώσεις κύριε ὡς
„ ἐπληθύνας τὸ ἔλεός σου ὁ θεός
Τὸ σοῦ τῶν ἐπὶ φησὶ τῶν κριμάτων
σου καὶ τῆς προνοίας τὸ ἄπειρον
ὡς μέχρι καὶ τῶν κτηνῶν δικνεῖ
ἡ φιλανθρωπία καὶ τρέφει αὐτά.
„ Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ

" τῶν πτερύγων σου ἐλπιοῦσιν·
Τοῦτο πρόῤῥησίς ἐστι τῆς μετὰ τὴν ἐναν-
θρώπησιν τοῦ θεοῦ γεγενημένης με-
ταβολῆς·
" Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου-
" σου καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς
" σου ποτιεῖς αὐτούς
Χειμάῤῥουν τὴν θείαν διδασκ[αλίαν] τὸ
δὲ οὐ προσοχθῆσαν ἀκύλας οὐκ
ἀπέῤῥιψεν ὁ δὲ σύμμαχος οὐκ-
ἀπεδοκίμασε θεοδοτίων δὲ οὐκ
ἀπώσατο ἡρμήνευσε
" Κε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου καὶ ἡ ἀ-
" λήθειά σου ἕως τῶν νεφελῶν ἡ
" δικαιοσύνη σου ὡσεὶ ὄρη θεοῦ τὰ κρίμα-
" τά σου ἄβυσσος πολλή·
Σὺ δὲ φησὶ ἔχεις ἔλεον ἀμέτρητον
ἀλήθειαν ἀστάθμητον δικαιοσύνην

ὄρεσιν

ὅρεσιν παραβαλλομένῳ. χωρεῖ δὲ
σοῦ ἡ ἀλήθεια καὶ μέχρις ἀνθρώ=
πων διὰ τῶν προφητῶν ὡς διά=
τινων νεφελῶν. τίνος οὖν ἕνε=
κεν μακροθυμεῖν ἀγνοῶ. ἀνέ=
φικτος γάρ σου τῶν κριμάτων
ἡ κατανόησις:
,, Ἀνθρώπους καὶ κτήνη σώσεις κύριε
,, ὡς ἐπλήθυνας τὸ ἔλεός σου ὁ θεός
Τοσούτων φησὶ ἐπὶ τῶν κριμάτων σου
καὶ τῆς προνοίας τὸ ἄπειρον ὡς
μέχρι καὶ τῶν κτηνῶν διήκει
ἡ φιλανθρωπία καὶ τρέφεις αὐτά;
,, Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέ=
,, πει τῶν πτερύγων σου ἐλπιοῦσιν
Τοῦτο προρρησις ἐστὶ τῆς μετὰ τὴν
ἐνανθρώπησιν τοῦ θεοῦ γεγενημέ=
νης

μεταβολῆς
" Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου-
" σου καὶ τὸν χειμάρρουν τῆς τρυφῆς
" σου ποτιεῖς αὐτούς:
Χειμάρρουν τὴν ὄντως διδασκαλίαν
καὶ τὴν μυστικὴν σοφίαν εἶπεν
διὰ τὸ μὴ ἐξ ἀρχῆς τὰ τοσαῦ-
τα ἀγαθὰ δοθῆναι τοῖς ἀνθρώποις
μήτε μετὰ θάνατον τοῖς κατὰ
τὸν παρόντα βίον προσπουδάσασιν αὐ-
τοῖς δίδοσθαι· δεικνὺς δὲ ὅτι καὶ
ἀέναος ἔσται καὶ χειμάρρους πρὸς
τὰς οἰκονομίας ἐπήγαγεν ὅτι πα-
ρὰ σοὶ πηγή:
" ὅτι παρὰ σοὶ πηγὴ ζωῆς ἐν τῷ φω-
" τί σου ὀψόμεθα φῶς
Σαφῶς ἐν ταῦτα τὸ τῆς τριάδος

μυστήριον

μυστήριον· πηγὴ γὰρ ζωῆς τοῦ μονο=
γενὴ φησὶ λόγον κατὰ τὸ ἐγὼ ἐν
τῷ πρὶ καὶ ὁ πὴρ ἐν ἐμοί ἐν τῷ
φωτὶ δὲ ὀψόμεθα φῶς φησὶν ὑπὸ
τοῦ θείου πνς φωτιζόμενοι τὰς
τοῦ μονογενῆ θεωροῦμεν ἀκτῖνας:

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσ=
κουσί σε καὶ τὴν δικαιοσύνην σου
τοῖς εὐθέσι τῇ καρδίᾳ

Τὴν τελείαν ἀρετὴν ἐν ἀληθέσι δόγ=
μασιν καὶ πράξεσιν ἀγαθαῖς δει=
ξάμενος. τοῖς ταύτην κεκτημένοις
τὸν ἔλεον καὶ τὴν δικαιοσύνην
ἐπήγγελεν:

Μὴ ἐλθέτω μοι πούς ὑπερηφανίας
καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι
με

ἡ πρᾶξις

Αἰτεῖ τῆς φύσεως τὰ μέτρα φυλάτ-
τειν· καὶ τῆς εὐθείας ὁδοῦ μὴ
παρατρέπεσθαι· τῆς ἐναντίας τὸ τέ-
λος ὄλεθρος. οἱ γὰρ εἰς ἐκεῖνο φη-
σὶ καταπίπτοντες ἀναστῆναι λοιπὸν
μετὰ θάνατον καὶ εἰς τὴν ἑτέραν
δραμεῖν οὐ δυνήσονται.
" Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμε-
" νοι τὴν ἀνομίαν ἐξώσθησαν καὶ
" οὐ μὴ δυνῶνται στῆναι.
Οὕτως ὁ σύμμαχος· ὅπου πίπτου-
σι οἱ ἐργαζόμενοι τὴν ἀνομίαν
ὠθοῦνται καὶ οὐ δυνήσονται στῆ-
ναι

Ψαλμὸς τῷ Δαβίδ, λϛ,

Τὴν πεῖραν μαθὼν ὁ θεῖος Δαβὶδ
ὅσων ἀγαθῶν πρόξενος ἡ πραό-

ἡ πραότης

ἡ πραότης καὶ ὅτι ἡ τῶν ἀδικία σῳζόντων
τὸ τάχος ἀνιαρ: ἐκ τῶν κατὰ τοῦ
σαοὺλ καὶ τοῦ ἀβεσαλῶμ παραι=
νεῖ πᾶσιν ἀνθρώποις ἐν τῷδε τῷ
ψαλμῷ φέρειν μὲν τὰ προσπίπτον=
τα ἀθλίας δὲ νομίζειν τὰς εὐπρα=
γίας τῶν πονηρῶν:

» Μὴ παραζήλου ἐν πονηρευομένοις
» μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν
» ἀνομίαν ὅτι ὡσεὶ χόρτος ταχὺ
» ἀποξηρανθήσονται καὶ ὡσεὶ λάχανα
» χλόης ταχὺ ἀποπεσοῦνται

Ὁ σύμμαχος μὴ φιλονείκει τῷ θεο=
δοτίων μὴ παρεθίζου φησὶ ἀντὶ
τοῦ μὴ παροξύνου ἐπιμιγνῦσιν
τῶν παρανόμων τὴν εὐκληρίαν
αὐτῶν θεώμενος καὶ δεικνὺς τῆς

τὴν εὐτολμίαν αὐτῶν τὸ πρόσκαιρον
ἐπήγαγεν ὅτι ὡσεὶ χόρτος ταχύ·
» Ἔλπισον ἐπὶ Κύριον καὶ ποίει χρηστό=
» τητα καὶ κατασκήνου τὴν γῆν καὶ
» ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ
» αὐτῆς.
Διὰ τούτων ἐδίδαξεν τῆς εἰς θεὸν
ἐλπίδος τὸ κεφάλαιον· ὁ γὰρ εἰς
αὐτὸν θεὸν ἐλπίζων καὶ ὑπ' αὐτοῦ
ποιμαινόμενος τῶν ὑπ' αὐτοῦ χο=
ρηγουμένων ἀγαθῶν ἀπολαύ=
σεται. διαφερόντως δὲ τεύξονται
τούτων οἱ τρυφὴν ἡγούμενοι τὴν
συνεχῆ πρὸς αὐτὸν ὁμιλίαν
» Κατατρύφησον τοῦ Κυρίου καὶ δώσει σοι
» τὰ αἰτήματα τῆς καρδίας σου. ἀπο=
» κάλυψον πρὸς Κύριον τὴν ὁδόν σου

καὶ ἔλπισον

„ καὶ ἔλπισον ἐπ' αὐτὸν καὶ αὐτὸς ποι=
„ ήσει καὶ ἐξοίσει ὡς φῶς τὴν δικαι=
„ οσύνην σου. καὶ τὸ κρίμα σου ὡς
„ μεσημβρίαν

Τῷ θῷ φησὶ καὶ ἑαυτὸν καὶ τὰς σὰς πρά=
ξεις ἀνάθου καὶ τὴν παρ' αὐτοῦ
μένε ῥοπήν. αὐτὸς γὰρ ὁ οὐδικαστὴς
ἐξοίσει δικαίαν τὴν ψῆφον καὶ
ἀνακηρύξει σε καὶ λαμπρὸν ἀπερ=
γάσεται ὡς εἶναι δῆλον ἅπασι κα=
θὼς τῆς μεσημβρίας τὸ φῶς.

„ Ὑποτάγηθι τῷ κῷ καὶ ἱκέτευσον
„ αὐτὸν

Ταῦτα τοίνυν εἰδὼς πείθου τῷ κῷ
κυβερνῶντι καὶ αἴτει παρ' αὐτοῦ
τὰ ἀγαθά

„ Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ

›› ἐν τῇ ὁδῷ αὐτοῦ ἐν ἀνθρώπῳ ποι=
›› οῦντι παρανομίας·

Κἂν τινὰ ἴδῃς πονηρὰ πραγματευόμε=
νον καὶ τοῦ σκοποῦ μὴ διαμαρ=
τάνοντα ἀλλὰ κατ' ὀρθὸν φερόμενον
μὴ δυσχεράνῃς μηδὲ δυσφορήσῃς
ὡς μηδενὸς τὴν κίνησιν ἰθύνοντα
τοῦτο γὰρ δηλοῖ τὰ ἐπαγόμενα·

›› Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε
›› θυμὸν μὴ παραζήλου ὥστε πο=
›› νηρεύεσθαι ὅτι οἱ πονηρευόμενοι
›› ἐξολοθρευθήσονται

Μὴ ἴδῃς αὐτῶν τὴν εὐημερίαν
ἀλλὰ προσμένων τὸ τέλος καὶ ὄ=
ψει τὸν ὄλεθρον·

›› Οἱ δὲ ὑπομένοντες τὸν κύριον αὐτοὶ
›› κληρονομήσουσι γῆν καὶ ἔτι

ὀλίγον

ὀλίγον καὶ ὕπαρξις ἀμαρτωλοῦ καὶ
ζητήσεις τὸν τόπον αὐτοῦ καὶ οὐ
μὴ εὕρῃς. οἱ δὲ πραεῖς κληρονο-
μήσουσι τὴν γῆν καὶ κατατρυφή-
σουσιν ἐπὶ πλήθει εἰρήνης:

Εὖ γὰρ ἴσθι ὅτι οἱ μὲν τῇ εὐθείᾳ ἐλπί-
δος σφᾶς αὐτοὺς ἀπαρτήσαντες
καὶ τὸν ἐπὶ γῆς προαιρούμενοι
βίον ἐν ἀπραγμοσύνῃ καὶ εἰρήνῃ
διατελοῦσι τὴν φύσιν ἔχοντες μό-
νιμον τοῦ σωτῆρος τὴν καθα-
ρότητα, οἱ δὲ τῇ προσκαίρῳ εὐη-
μερίᾳ θαρροῦντες ταχεῖαν δέξον-
ται τὴν μεταβολὴν καὶ λήθῃ παρα-
δοθήσονται παντελεῖ:

Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δί-
καιον καὶ βρύξει ἐπ' αὐτὸν τοὺς

„ τοὺς ὀδόντας αὐτοῦ· ὁ δὲ Κς ἐκγελά=
„ σεται αὐτόν· ὅτι προβλέπει ὅτι
„ ἥξει ἡ ἡμέρα αὐτοῦ:

Καὶ διὰ τοῦτο παρὰ ψυχὴν τοῖς ἀδι=
κουμένοις προσφέρει δι' ἣν κλύσι
γὰρ τὸν μὲν παράνομον ζητοῦντα
καὶ μεμηνότα κατὰ τῶν τὸν ἀπρά=
γμονα βίον ἀσπαζομένων· τὸν δὲ
δίκαιον κενῶς καταγελῶντα τῆς
ἐγχλευαστικῶς ἀκ... τῶν ταχειῶν
αὐτοῦ ἐκχυθῆναι ποσῶν·

„ Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοὶ
„ ἐνέτειναν τόξον αὐτοῦ τοῦ κατα=
„ βαλεῖν πτωχὸν καὶ πένητα τοῦ
„ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ·
„ ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς
„ καρδίας αὐτῶν καὶ τὰ τόξα αὐτῶν

συντριβείη

συντριβείη:

Τὴν αὐτὴν ἔχει τοῖς προειρημένοις καὶ
ταῦτα διάνοιαν· διδάσκει γὰρ ὡς
ὁ ἄδικος ταῖς οἰκείαις ἁλώσεται πα=
γαῖς· ῥομφαία δὲ καὶ τόξον τὰς
διαφόρους ἐπιβουλάς φησί:

„ Κρεῖττον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦ
„ τον ἁμαρτωλῶν πολύ:

Ἄμεινον φησὶ μετὰ δικαιοσύνης αὐτάρ=
κειαν παρανόμου πλούτου καὶ περι=
ουσίας ἀδίκου εἶτα δείκνυσι τὴν
ἀμφοτέρων ἐπικαρπίαν:

„ Ὅτι βραχίονες ἁμαρτωλοῦ συντριβή=
„ σονται ὑποστηρίζει δὲ τοὺς δικαίους
„ ὁ κς

Ὅτι βραχίονες τροπικῶς τὴν δύναμιν

ἀπεκάλεσεν· πάντων γὰρ πεφύκασι

ἐργάζεσθαι ἀμοί· προσφυῶς δὲ τοῦ-

ποσπείζει· ὑπὸ δαιμόνων γὰρ καὶ

ἀνθρώπων οἱ δίκαιοι ἐλαυνόμενοι, ὑπὸ

δὲ τῆς θείας ἐκδιδόμενοι χάριτος

ἔσασι περιγενόμενοι τῶν ἐπιόντων·

,, γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀμώμων

,, καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶ-

,, να ἔσται· οὐ καταισχυνθήσονται

,, ἐν καιρῷ πονηρῷ καὶ ἐν ἡμέραις

,, λιμοῦ χορτασθήσονται·

Πάσης ἀπολαύουσι προνοίας οἱ ἄμεμ-

πτον βίον αἱρούμενοι. καὶ γὰρ ἐν

συμφοραῖς συντηρηθήσονται καὶ

ἐν κοινῇ ἐνδείᾳ ἐκ θεοῦ τὴν αὐ-

τάρκειαν δέξονται καὶ τῶν αἰωνί-

ων ἀπολαύσουσι ἀγαθῶν

φανθῶν ἢ λιμὸν ἐκεῖνον φησὶ τὸν
Ἰουδαίοις ἐπηρτημένον τὸν τοῦ ἀκοῦ-
σαι λόγον κυρίου.

" Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται, οἱ δὲ
" ἐχθροὶ τοῦ κυρίου ἅμα τοῦ δοξασθῆναι
" αὐτοὺς καὶ ὑψωθῆναι ἐκλείποντες
" ὡσεὶ καπνὸς ἐξέλιπον.

Ἡ τοῦ συνδέσμου ἐναλλαγὴ ἄλλους ὑ-
ποβάλλει νοεῖν τοὺς ἐχθροὺς τοῦ
κυρίου παρὰ τοὺς ἁμαρτωλούς. ἀκύλας
καὶ ὁ σύμμαχος ἀντὶ τοῦ δὲ τὸν
καὶ τεθεικότες τοὺς αὐτοὺς φησὶν εἶ-
ναι. λέγει δὲ οἱ διὰ οἰκείας οἰκονο-
μίας θεομισεῖς γενόμενοι ἐπ' ὀλί-
γον ἀνθήσαντες καὶ δόξαντες εἶ-
ναι περίβλεπτοι ὡς καπνὸς διε-
λύθησαν.

„ Δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτί-
„ σει ὁ δὲ δίκαιος οἰκτείρει καὶ δίδωσι
„ ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομή-
„ σουσι γῆν·

Τοιοῦτοι ἦσαν καὶ οἱ ἰουδαῖοι πολλὰ
ὑπὸ τῶν ἀποστόλων εὐεργετούμενοι
καὶ τὴν μιαιφόνον δεχόμενοι
γνώμην ἀλλ᾽ ὅμως οἱ ἀπόστολοι εὐ-
χολήμως ταῖς θείαις δωρεαῖς παρεῖ-
χον τοιοῦτος καὶ ὁ σαοὺλ ἐπὶ ταῖς
τοῦ δαδ εὐεργεσίαις·

„ Οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευ-
„ θήσονται·

Οὕτω τῷ ἀβραὰμ ὁ θεὸς φησὶ εὐλο-
γήσω τοὺς εὐλογοῦντάς σε·

„ Παρὰ κυρίου τὰ διαβήματα ἀνθρώπου κατευ-
„ θύνεται καὶ τὴν ὁδὸν αὐτοῦ θελή-
„ σει σφόδρα ὅταν πέσῃ οὐ καταρ
ραχθήσεται

,, καταραχθήσεται ὅτι κς ἀντιστηρίζει
,, χεῖρα αὐτοῦ:
Ἀδύνατον γὰρ δίχα τῆς αὐτοῦ χάριτος
ἀρετὴν κατορθωθῆναι συνεργεῖ μέν-
τοι τοῖς τοσοῦτον ἔχουσι τὸν σκοπὸν οὕτω
κἂν ὀλισθήσῃ ποτὲ ὁ τοιοῦτος ὀξείας
ταχείας ἀντιλήψεως τεύξεται:
,, Νεώτερος ἐγενόμην καὶ γὰρ ἐγήρασα:
,, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμ-
,, μένον οὐδὲ τὸ σπέρμα αὐτοῦ ζη-
,, τοῦν ἄρτους. ὅλην τὴν ἡμέραν ἐλεεῖ
,, καὶ δανείζει ὁ δίκαιος καὶ τὸ σπέρ-
,, μα αὐτοῦ εἰς εὐλογίαν ἔσται:
Οὐδέποτε φησὶν εἶδον δίκαιον τῆς
θείας ἔρημον γενόμενον προνοίας
ὁ γὰρ τὸ δίκαιος κεῖται οὐ μόνον
αὐτοῦ ἀλλὰ καὶ ἐξ αὐτοῦ φυομένου

πᾶσαν ποιεῖται εὐδαιμονίαν ὅτω τοῦ
σωλομῶντος ἠσεβηκότως ὑπέσχετο
διὰ τὴν πατρῷαν ἀληθείαν. διὰ
δὲ τοῦ ὅλην τὴν ἡμέραν τὰς παν=
τοδαπὰς εὐεργεσίας τοῦ καθ᾽ δηλοῖ
τὰ πράγματα τὰ διὰ λόγων καὶ συμ=
βουλῶν. διὼν ἐλεεῖ τοὺς ἀπολά=
υονται δανείζει θεῷ

" Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγα=
" θὸν κατασκήνωσον εἰς αἰῶνα αἰῶνος

Ταῦτα εἰδότες ὦ ἄνοι φύγετε τῆς κα=
κίας τὰ ἄχειρα τὴν ἐναντίαν ὁδεύον=
τες ἵνα τῶν αἰωνίων ἀπολαύσητε
" ὅτι κύριος ἀγαπᾷ κρίσιν καὶ οὐκ ἐγκα=
" ταλείψει τοὺς ὁσίους αὐτοῦ εἰς τὸν
" αἰῶνα φυλαχθήσονται. καὶ σπέρμα
" ἀσεβῶν ἐξολοθρευθήσεται.

» ἐξολοθρευθήσεται· δίκαιοι δὲ κλη-
» ρονομήσουσι γῆν καὶ κατασκηνώσου-
» σι εἰς αἰῶνα αἰῶνος ἐπ᾽ αὐτῆς.
Ὀρθῇ καὶ δικαίᾳ κρίσει χρώμενος ὁ
τῶν ὅλων θεὸς προσφυεῖς τοῖς ἐπιτη-
δεύμασιν τὰς ἀντιδόσεις ποιεῖται
καὶ ποιήσεται· οὕτω δὲ τοὺς ἑκατέ-
ρων δείξας καρπὸν καὶ τὰ τέλη
διδάσκει λοιπόν· πῶς ἦν ἐπὶ τῶν τῷ
θεῷ φίλων καθῶσαι δικαιοσύνην
καὶ φησί· στόμα δικαίου:
» Στόμα δικαίου μελετήσει σοφίαν
» καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν
» ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρδίᾳ
» αὐτοῦ καὶ οὐχ ὑποσκελισθήσεται
» τὰ διαβήματα αὐτοῦ:
Προσήκει τοίνυν καὶ τῇ γλώττῃ καὶ

τὴ διανοίᾳ τὰ θεῖα λόγια περιφέρειν

καὶ τὴν τούτων μελέτην ποιεῖσθαι

διηνεκῶς. οὕτω γὰρ τὸ πρακτέον

μανθάνων ὁ τῆς ἀρετῆς ἐραστὴς ἀπερι-

μερίμνως μὲν τὸν καταβαλεῖν ἐπιχει-

ροῦντα τὸν πειρασμόν μένος, ὅμοια τῷ

ἀλλὰ ἐν τῷ νόμῳ ἑξῆς:

” Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον

” καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτὸν ὁ δὲ

” κύριος οὐ μὴ ἐγκαταλείπῃ αὐτὸν εἰς τὰς

” χεῖρας αὐτοῦ οὐδ᾽ οὐ μὴ καταδικά-

” σηται αὐτὸν ὅταν κρίνηται αὐτῷ.

Μελέτη κὰν μονιμοτέρα κατασκευά-

ζων τὴν μνήμην λέγει δὲ ὅτι οὐ περι-

όψεται τὸν δίκαιον ὁ δεσπότης ἐπι-

βουλευόμενον ὑπὸ τῶν πονηρῶν

οὐδὲ συμψηφισθῆναι αὐτοῖς τὰ τοιαῦτα

τολμῶσι. ἀλλ᾽ ὑπερπηδῆσαι παρασκευάσει

τὰ δεινὰ

τὰ δεινὰ καὶ ἀγαθὰ τοῖς φιλομαθέσι
τὰ πάλαι συλλέξαντας θεωρῆσαι καὶ
τὰ νέα:
» ὑπόμεινον τὸν κύριον καὶ φύλαξον τὴν
» ὁδὸν αὐτοῦ καὶ ὑψώσει σε τοῦ κατα=
» κληρονομῆσαι γῆν· ἐν τῷ ἐξολοθρε=
» ύεσθαι ἁμαρτωλοὺς ὄψει:
Ταῦτα τοίνυν μεμαθηκὼς τὴν θείαν
προσίμενε ψῆφον φύλαττε νόμους·
οὕτω γὰρ καὶ τῷ παρόντι αἰῶνι γε=
νήσει περίβλεπτος κἂν τῷ μέλλον=
τι τῶν μονίμων ἀγαθῶν ἀπολαύ=
σῃ καὶ ὄψει τῶν ἁμαρτωλῶν τὸ παν=
άθλιον τέλος· εἶτα ἐπειδὴ πολλοὺς
ἀνιᾷ τὸ μὴ παραυτὰ τιμωρεῖσ=
θαι τοὺς ἀδίκους εἰκότως ἀπὸ τῶν
γεγενημένων πιστοῦ τὰ μέλλοντα:
» Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον

» καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ
» λιβάνου καὶ παρῆλθον καὶ ἰδοὺ
» καὶ οὐκ ἦν καὶ ἐζήτησα καὶ οὐχ
» εὑρέθη ὁ τόπος αὐτοῦ

Εἶδε γὰρ ὁ μέγας Δαδ καὶ τοῦ ὑπερη-
φάνου γολιὰθ τὸ τέλος καὶ σαοὺλ καὶ
ἀβεσσαλὼμ ~~αι~~ καὶ ἄλλων ἀλαζονείαν
μετὰ τὴν ἀπώλειαν εἰκότως τοῖς μεγ-
ἀπαρθεῖσι δένδρεσι τὴν ἐκείνων εἰκά-
ζει φρούδους δὲ σὺν αὐτοῖς καὶ τοὺς
τόπους αὐτῶν φησὶ τουτέστι τὰς ἀμνή-
μας αὐτῶν. εἶτα πάλιν εἰσποιεῖται
εἰς φέρει συμβουλήν:

» Φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύτητα
» ὅτι ἐστὶ ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνι-
» κῷ:

Οὕτως ὁ σύμμαχος φύλασσε ἁπλό-

τητα

ἀπλότητα καὶ ἴδε εὐθύτητα μὴ ἀπο=
βλέψῃς φησὶ εἰς τὰ παρόντα λυπηρὰ
ἀλλὰ καὶ προσδέχου τὰ μέλλοντα
ἔστι γὰρ καιρὸς, ἔσω τῇ ἁπλότητι καὶ
εὐθύτητι κεχρημένοις, ἀποδοθήσε=
ται ὁ προσήκων μισθός:
„ Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται
„ ἐπὶ τὸ αὐτὸ τὰ ἐγκαταλείμματα
„ τῶν ἀσεβῶν ἐξολοθρευθήσον
„ ται σωτηρία τῶν δικαίων παρὰ κυ.
„ καὶ ὑπερασπιστὴς αὐτῶν ἐστὶ ἐν
„ καιρῷ θλίψεως καὶ βοηθήσει
„ αὐτοῖς κε καὶ ῥύσεται αὐτοὺς καὶ
„ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν
„ καὶ σώσει αὐτοὺς ὅτι ἤλπισαν
„ ἐπ' αὐτόν:

Οὕτω πάλιν ὁ σύμμαχος· οἱ δὲ ἀθε-
τοῦντες ἐξαλειφθήσονται ὁμοῦ· τὰ
ἔσχατα τῶν ἀνόμων σκορπισθήσεται.
ἐν ἐκείνῳ δέ φησι τῷ καιρῷ καὶ
οὗτοι τὰ ἐπίχειρα δέξονται κοινὸν
ὑπομένει ὄλεθρον. τὸ δὲ σωτηρία
τῶν δικαίων ἔχεται οὕτως οἱ δὲ
τῆς ἐν δικαιοσύνης ἐργάται τῆς θεί-
ας ῥοπῆς ἀπολαύσαντες καὶ σει-
τεύξονται καὶ τῶν ἀδικεῖν πειρω-
μένων περιγενήσονται, ἀλλὰ δὴ ἀκ-
ραιφνῆ τῷ περὶ αὐτῶν ἐλπίδι κλη-
σάμενος:

Ψαλμὸς τῷ Δαδ εἰς ἀνάμνησιν
περὶ σαββάτου:

Τὴν σπουδαίαν μετάνοιαν τοῦ θεσπε-
σίου Δαδ τὸ τῆς ἐξομολογήσεως:

κηρύττει

κηρύττει διάφορον· ἐν πολλοῖς γὰρ ψαλ-
μοῖς μέμνηται τῆς ἁμαρτίας κρύπ-
τειν τὸ ἕλκος οὐκ ἀνεχόμενος· ἀλλὰ
καὶ τὴν νόσον καὶ τὴν θεραπείαν
τῆς ἁμαρτίας μέμνηται καὶ τῆς διὰ
θεραπείαν τῇ ἁμαρτίᾳ ἀπενεχ-
θείσης παιδείας ἐπιτωέχθησε πολλὰ
τοῦ ἀμμοῦ ἢ σφαγὴ τοῦ ἀβεσαλὼμ
ἡ τυραννὶς ἡ ἐπὶ τὸ θέλ κατ' αὐτοῦ βουλε-
υόμενος στημείχοι δυσφορούμενος καὶ
ἄλλα:

„ Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μὴ
„ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με ὅτι
„ τὰ βέλη σου ἐνεπάγησάν μοι καὶ
„ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου
„ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ
„ προσώπου τῆς ὀργῆς σου:

Τοῦτο καὶ τοῦ ς ψαλμοῦ τὸ προοίμιον
ἐποιήσατο παρακαλῶ μὴ δριμυτέροις
ἀλληπίοις ἰατρευθῆναι φαρμάκοις
οὐ μάτην φησὶ ἀρκεῖ βολῶ ἀλλ' ὁρῶ
ἐπιφερομένας μοι νιφάδας βελῶν
καὶ τὴν χεῖρά σου λίαν ἐπικειμέ-
νην καὶ σφόδρα με μαστίζουσα τὸ
γὰρ ἐπεστήριξας ἐκ μεταφορᾶς τῶν
θηκῶν τῶν ἀφικομένων καὶ πολλὰς
ἐπιφερόντων πληγάς:

„ Οὐκ ἔστιν ἴασις ἐν τοῖς ὀστέοις μου ἀπὸ
„ προσώπου τῶν ἁμαρτιῶν μου:

Νυττόμενος φησὶ τῇ μνείᾳ τῆς ἁμαρτίας
ἀναμιμνήσκομαι ἧς ἡ μνήμη
θρήνους μοι ἐργάζεται ἔξω κα-
κουχία μοι καὶ ταλαιπωρία προσ-
γίνεται

προσγίνεται:

„ Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κε-
„ φαλήν μου ὡσεὶ φορτίον βαρὺ ἐβα-
„ ρύνθησαν ἐπ' ἐμέ· προσώζεσαν
„ καὶ ἐσάπησαν οἱ μώλωπές μου
„ ἀπὸ προσώπου τῆς ἀφροσύνης μου·
„ ἐταλαιπώρησα καὶ κατεκάμφθην
„ ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυ-
„ θρωπάζων ἐπορευόμην:

Κατέκαμψέν με ἀπὸ τὸ βάρος τῆς ἁμαρ-
τίας φορτίον· ἀνία δέ με τῶν σε-
σηπότων ἐκείνων τραυμάτων ἡ συ-
ζυγία· τὴν φρόνησιν ἀποβαλὼν καὶ
τῇ ἀφροσύνῃ δουλεύσας ἐδεξάμην
οὗ δὴ χάριν πάσης θυμίας ἐστερη-
μένος ἀσχάλλω καὶ ἀλύω διηνεκῶς

καὶ τῆς σκυθρωπότητος μεταβολὴν
οὐχ ὑπέσχον:
ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγ-
μάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρ-
κί μου
Διὰ τοῦτο τὴν ἐπιθυμίαν ἠνίξατο ταύ-
ταις γὰρ ἐγκεῖνται οἱ νεφροὶ δι' ὧν
ὅσαι αἱ ὀρέξεις κινεῖσθαι πεφύκα-
σιν λέγει οὖν ὅτι τούτων τῶν κα-
κῶν αἴτιοί μοι γεγόνασι τὸ μὴ εἰς
δέον ἀλλ' εἰς ἀσωτίαν τὴν ἐπιθυ-
μίαν περισχίσασθαι
ἐκακώθην καὶ ἐταπεινώθην ἕως
σφόδρα ὠρυόμην ἀπὸ στεναγμοῦ
τῆς καρδίας μου καὶ ἐναντίον σου
πᾶσα ἡ ἐπιθυμία μου

» ἐπιθυμίαμου

Ἐξ ἔκειμπε φησὶ τῆς ἐπιθυμίας· ἐξηπίτη
σα τὸ κύπτειν εἰς γῆν καὶ διηνεκῶς
ὀλοφύρεσθαι διὰ τὰς πικρὰς τῆς καρ=
δίας ὀδύνας τούτου χάριν τῆς ἐπιθυ=
μίας μεταβαλὼν τὴν ἐνέργειαν ὑ=
πουργὸν αὐτὴν κατέστησα τοῦ θεί
ου βουλήματος τοῦτο γὰρ ἐπίτατε
τὲ ἐναντίονσου ἐπειδὴ γὰρ ἅπαξ
ἐχρησάμην αὐτῇ κακῶς ἀεὶ τοῖς
σοῖς αὐτὴν ἐπιτάγμασιν ἀναθήσω·

Καὶ ὁ στεναγμόςμου ἀπὸ σοῦ οὐχ
ἀπεκρύβη ἡ καρδίαμου ἐταράχθη
ἐγκατέλιπέμε ἡ ἰσχύςμου καὶ τὸ
φῶς τῶν ὀφθαλμῶνμου καὶ αὐτὸ
οὐκ ἔστι μετ' ἐμοῦ

Ὁ χαῖρέ μου φησὶ δέσποτα τοὺς ὀδυρμοὺς ὁρᾷς με κλονούμενον καὶ τῆς ἰσχύος γεγυμνωμένον καὶ τοῦ φωτὸς τοῦ ὀλωπήθους ἐστερημένον διὸ σε κατὰ τὸ πᾶν τοῦτον σημαίνει καὶ τὴν τῆς ἀθυμίας ὑπερβολὴν δι᾽ ἣν οὐδὲ τὸ φῶς εἶναι δοκεῖ φῶς καὶ τῆς θείας κηδεμονίας τὴν γύμνωσιν τὸ φῶς ὀφθαλμῶν εἰκότως ὠνόμασεν.

" Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Οὐκοῦ σύμμαχοι οἱ φίλοι μου καὶ ἑταῖροί μου ἐξ ἐναντίας ἐπὶ τὸ πλῆγμά μου ἀντέστησαν οἱ μὲν γὰρ φησὶ τῶν φίλων τὴν ἐμὴν θεασάμενοι πληγὴν τὰ

πολεμίων

πολεμίων ἔδραξαν καὶ προθαρρῶς
μοι ἀντέστησαν· οἱ δὲ δείσαντες ἐ=
χωρίσθησαν οὐ συμμαχοῦντές μοι
Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχή=
μου καὶ οἱ ζητοῦντες τὰ κακά μοι
ἐλάλησαν ματαιότητας καὶ δολιό=
τητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
Ἐρημωμένων μὲν τῶν φίλων ὑπο=
λέλειμμαι θεασάμενος τὰς κατ' ἐμοῦ
ῥάπτοντας δι' ἐχθρῶν ἐπιβουλὰς τῇ
ἐμῇ σφαγῇ ἐθυέμενος.
Ἐγὼ δὲ ὥσπερ κωφὸς οὐκ ἤκουον
καὶ ὥσπερ ἄλαλος οὐκ ἀνοίγων τὸ
στόμα αὐτοῦ καὶ ἐγενόμην ὡσεὶ=
ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων
ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς:

Τοῦτο σαφέστερον ἡ ἱστορία διδάσκει
καὶ γὰρ τοῦ ἀβεσαλὼμ τοῦ πρὸς
ἀγλιωμένων ταὶ φύσαι καὶ πρὸς
αὐτὸν ἐφελκομένων τῶν δικαζο-
μένων τοὺς ἡττωμένους. ὁ μακάρι-
ος ἐμακροθύμει δᾱδ καὶ τῶν
δικαζομένων τοὺς ἡττωμένους ὁ
μακάριος ἐμακροθύμει δᾱδ καὶ
τοῦ σεμεῒ ἐλοιμένου καὶ γλώττῃ
καὶ χειρὶ βάλλοντος συγγνὼν ταῖς ὕ-
βρεσι ἐδέχετο. καὶ τὸν ἀβεσαλὼμ
πειραθέντα δίκαι τὸν ἀλιτήριον
διαπράξασθαι διεκώλυσεν. εἰεπ-
πὼς ἄφετε αὐτὸν καταρᾶσθαί με
διότι κ̄ς εἶπεν αὐτῷ κακολογεῖν
τὸν δᾱδ καὶ τίς ἐρεῖ αὐτῷ τί

πεποίηκας

πεποίηκε οὕτως ὅπως ἐπιχαρῶσί μοι
οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι
πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορημόνη
σαν

Ταύτῃ δέ φησι χρώμενος τῇ καρτε=
ρίᾳ διετέλουν εἰς δὲ τὴν ἐλπίδα
ἔχων καὶ σοὶ τὴν ἐμαυτοῦ πίστιν
διδοὺς καὶ ἐκείνους μὴ ἐπιχάρτους
γενέσθαι τοῖς πολεμίοις μηδὲ
τὴν ἐμὴν ἧτταν πρόφασιν ἀλα=
ζονείας γενέσθαι:

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος καὶ ἡ
ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διὰ
παντός ὅτι τὴν ἀνομίαν μου ἐγὼ
ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς
ἁμαρτίας μου:

Ἄξιον με φησὶ μαστίγων ἡ ἁμαρτία
πεποίηκεν· διόπερ ἐμαυτοῦ ὑποτί=
θημι ταῖς τιμωρίαις ἐφιέμενος τῆς
τῆς θεραπείας ταῖς τῆς ἁμαρτίας ὀ=
δύναις κεντούμενος. τὸ δὲ ὅτι τὴν
ἀνομίαν μου· διαδὴ τοῦτο καὶ κατή=
γορος ἐμαυτοῦ γίνομαι καὶ πᾶσαν
φροντίδα τῆς ὑγείας ποιήσομαι·
,, Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραται=
,, ώνται ὑπὲρ ἐμὲ καὶ ἐπληθύνθη=
,, σαν οἱ μισοῦντές με ἀδίκως· οἱ ἀν=
,, ταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν·
Σοὶ γάρ φησι μόνῳ ἥμαρτον· οἱ ἐκεῖ=
νοι δὲ πολλάκις εὐεργεσίας δεξά=
μενοι τοῖς ἐναντίοις ἀμείβονται καὶ
μείζονά μου προσεκτήσαντο ῥώμην·

ἐνδιεναλλόμε

„ Ἔνθα συναλλόμενοι ἐστικαλεδίωκον ἀπα=
„ θωσίων
Πάλιν τὸν ἀβεσαλὼμ ἀνίτεταν τὰς
κρίσεις αὐτοῦ διανάλοντα καὶ ἀδί=
κους ἀποκαλοῦντα.
„ Μὴ ἐγκαταλίπῃς με κύριε ὁ θεός μου μὴ
„ ἀποστῇς ἀπ' ἐμοῦ πρόσχες εἰς τὴν βο=
„ ήθειάν μου κύριε τῆς σωτηρίας μου:
Ὑπὸ τοσούτων φησὶ περικλυζόμενος ἀλγει=
νῶν σὲ τὸν ἐμὸν θεὸν καὶ τὸν δεσπό=
την ἀντιβολῶ μὴ γυμνῶσαί με τῆς
σιωπήθους προνοίας ἀλλὰ μεταδοῦναι
ἀλγεινῶν σὲ τὸν ἐμὸν θεὸν καὶ δεσ=
πότην ἀντιβολῶ μὴ γυμνῶσαί με
τῆς σιωπήθους προνοίας ἀλλὰ μετα=
δοῦναι ῥοπῆς καὶ σωτηρίας χαρίσασ=
σθαι. „ Εἰς τὸ τέλος τῷ ἰδιθοὺμ ᾠδὴ τῷ δαδ:-

Τινὲς τῶν συγγραφέων τῶ ἰσμοῦθ ἀνέ=
θεσαν τὸν ψαλμὸν καὶ ἔφασαν
αὐτὸν γεγραφέναι τοῦτον ἡ δὲ ἐπι=
γραφὴ τῶν ἐναντίον διδάσκει ὅτι
τὸν μὲν δαδ ὁ ψαλμός τῷ δὲ ἰθοὺμ
ὡς τὸν τῶν ᾀδόντων πεπιστευμένων
χορ εἰς τὸ ψάλλειν ἐδόθη εἰς τὸ τέλος
δὲ ἡμᾶς παραπέμπει ἐπειδὴ τῆς ἐν-
ανθρωπήσεως φύσεως τραγῳδεῖ τὴν συν=
τέλειαν καὶ τό ταύτης ὑποδείκνυσι
τέλος εἴρηκεν δὲ καὶ τοῦτον τὸν
ψαλμὸν ὁ μέγας δαδ ὑπὸ τοῦ ἀβε=
σαλῶμ διωκόμενος καὶ ὑπὸ τοῦ σε=
μεῒ λοιδορούμενος καὶ πρὸ τὸν
προκειμένων πολὺν ἔχει τὴν συμ=
φωνίαν

εἶπα

ἔιπα φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁ=
μαρτάνειν με ἐν γλώσσῃ μου ἐθέμην
τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆ
ναι τὸν ἁμαρτωλὸν ἐναντίον μου ἐκω=
φώθην καὶ ἐταπεινώθην καὶ ἐσι
γησα ἐξ ἀγαθῶν:

Πολλὴν προμήθειαν φησὶν τῆς γλώττης
ἐποιησάμην εὐόλισθον τοῦτον διαφέ=
ροντα τὸ μόριον ἐπιστάμενος καὶ ὀρο=
γὴν χερῶν ταύτῃ ἀεὶ περιβάλλων
ἁμαρτωλὸν δὲ τὸν σεμεεὶν ὀνομά=
ζει ὡς ἄδικον οὗτος γὰρ οὐδὲν ἠδι=
κημένος ἀνέστη αὐτῷ καὶ φεύγοντα
τοῦ πατραλοίου παιδὸς τὴν τυραννίδα
κατὰ τὴν ὁδὸν ἀπαντῆσαι καὶ βῶ=
λοις ἔβαλε καὶ λόγοις ἐλοιδορεῖτο

ἄνδρα παράνομον καὶ ἄνδρα ἁμαρ-
τῶν ἀποκαλῶν ἑαυτόν· ταῦτα γὰρ φησὶ
ἐκωφώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν
οὐ μόνον γὰρ αὐτὸς οὐκ ἠμύνατο
ἀποσοβῆσαι ἀλλὰ καὶ τὸν στρατη-
γὸν ἐναπειραθέντα κατοικίσας διε-
κώλυσεν:

» Καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη:

Ταῦτα πανταχοῦ πάσχων ταῖς ἀπὸ
τῆς μνήμης τῆς ἁμαρτίας ἐναλό-
μενω ἔπαθεν αὐτά μοι συμβῆναι λο-
γιζόμενος:

» Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου
» καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσε-
» ται πῦρ:

Οὕτως ὁ σύμμαχος ἐξεθερμάνθη ἡ
καρδία μου ἐντός μου ἐν τῷ ἀπο-

ἀπολαμπονη

ἀπολαμπούσῃ ἀνακαιομένῳ πυρὶ ἀνα-
μιμνησκόμενος ἀπὸ τῆς ἁμαρτίας-
μου τῷ τῆς ἀθυμίας ἐμπεπλησμένῳ
πυρί
Ἐλάλησα ἐν γλώσσῃ μου γνώρισόν-
μοι κε τὸ πέρας μου καὶ τὸν ἀριθ-
μὸν τῶν ἡμερῶν μου τίς ἐστιν ἵνα
γνῶ τί ὑστερῶ ἐγώ·
Πρὸς μὲν οὖν τὸν λοιδορούμενον ἀπε-
κρινάμην οὐδὲν τὸν δὲ τῶν ὅλων
ἱκετεῦσαι κε δῆλον μοι ποιῆσαι
τῆς ζωῆς μου τὸ τέλος σφόδρα τῆς
τελευτῆς ἐφιέμενος:
Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου
καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐδὲν
ἐνώπιόν σου
Οὕτως ὁ σύμμαχος ἰδοὺ ὡς πιθαμὰς
ἔδωκας τὰς ἡμέρας καὶ ἡ βίωσίς μου

ὡς οὐδὲν αὐτὴ κρείσσου ἐφίεμαι τελευ-
τῆς οὐ μακρόβιον τῶν ἀνθρωπίνων
ἰδὼς φύσιν· ἡ γὰρ ἡμετέρα βραχὺ
οὐδὲ ὅλως εἶναι δοκεῖ τῇ σῇ παρα-
βαλλομένη ζωῇ:

» Πλὴν τὰ σύμπαντα ματαιότης πᾶς
» ἄνθρωπος ζῶν:

Ὥστε πᾶσα φησὶ τῶν ἀνθρώπων ἡ φύσις
καὶ πλουτοῦντες καὶ πενόμενοι ἄλ-
μων ἐοίκασι διαλυομένων καὶ εἰκη-
μάτων οἰκοδομοῦσιν φυτεύουσι
πλοῦτον. καὶ πενουσίαν ἀνθρέξουσι:

Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄν-
θρωπος πλὴν μάτην ταράσσεται θη-
σαυρίζει καὶ οὐ γινώσκει τίνι συνά-
ξει αὐτά:

Οὐδὲν φησὶ τῶν ἐν εἰκόνι γεγραμμένων
οἱ ζῶντες διαφέρουσιν ἀπ' οἱ ὁμοίως
γὰρ καὶ

γὰρ καὶ τούτων κἀκείνων ἡ φύσις ἡ-
πορεῖ τὸ χρόνιον· ἀλλ' ὅμως οὐδὲν
ἧττον διαπράττονται διαμαχόμε-
νοι ἐμπορευόμενοι καὶ ζάλης ὁ βίος
μεστὸς τέλος ἔχων τὸν θάνατον
σὺν πόνῳ δὲ τὸν πλοῦτον ἀθροί-
ζοντες τὸν ἐσόμενον οὐκ ἴσασιν
κληρονόμον. ταῦτα δὲ καὶ ἐκ τῶν
καθ' ἑαυτῶν κινούμενον γέγραφεν
ὁ θεῖος Δαβίδ

Καὶ νῦν τίς ἡ ὑπομονή μου οὐχὶ ὁ κύριος καὶ
ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστι ἀπὸ
πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με

Πᾶσιν ἐκείνοις ἐρῶσθαι φράσαι τὴν
παρὰ σοῦ προσμένων βοήθειαν
τὴν δὲ ὑπόστασιν ἀκύρως παραδοκίαν
εἴρηκεν:

Ὄνειδος ἄφρονι ἔδωκάς με:

Πάλιν τοῦ Σεμεεὶ μνημονεύει καὶ τὰ ἐπαγόμενα δὲ ἀκόλουθα τοῖς ἐν τῇ ἱστορίᾳ:

„ Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου

„ ὅτι σὺ ἐποίησας

Σοῦ γάρ φησι συγχωρήσαντος πεπαρῴνηκεν ἐκεῖνος καὶ ὁ μὲν ἐῴκει μάστιγι σὺ δὲ ἐκίνει τὴν ἐπὶ παροινίαν ἐπέφερες. διὰ τοῦτο σιγῶν ἐδεξάμην τὰς μάστιγας ἐκείνου μὲν παρορῶν, σὲ δὲ ὁρῶν τὸν παιδεύοντα προσθεὶς δὲ μάλα καὶ τὰ ἐπαγόμενα τέθεικε:

„ Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου

„ ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου

„ ἐγὼ ἐξέλιπον:

Ἱκετεύω τοίνυν καὶ ἀντιβολῶ σε δέσποτα παῦσον λοιπὸν τὴν παιδείαν τῷ πλή

τῷ πλήθει

τῷ πλήθει τῶν μαστίγων καταχώσθην.

Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον καὶ ἐξέτηξας ὡς ἀράχνην:

Οὐκ εἰκῇ φησὶ καὶ μάτην κέχρησαι ταῖς παιδείαις ἀλλὰ διελέγχων τὰ ἐπταισμένα καὶ ἰατρικῶς τέμνων. καὶ ἐξαίρων τὸν κεκρυμμένον ἰχῶρα καὶ τὰς μὲν τῆς θεραπείας καταστήσεις ὀδυνηρὰς ὑγίαν δὲ πραγματεύει τοῖς τεμνομένοις:

Τὴν ψυχὴν αὐτοῦ πλὴν μάτην πᾶς ἄνθρωπος:

Ταῦτα τοίνυν παρὰ σεαυτῷ λογιζόμενος εἰς οὐδὲν δέον ὁρῶν τοὺς ἀνθρώπους ὑπὲρ προσκαίρων ταραττομένους πραγμάτων:

Εἰσάκουσον τῆς προσευχῆς μου κε

„ καὶ τῆς δεήσεώς μου ἐνώτισαι τῶν δα=
„ κρύων μου μὴ παρασιωπήσῃς ὅτι
„ πάροικος ἐγώ εἰμι καὶ παρὰ σοὶ
„ καὶ παρεπίδημος καθὼς πάντες
„ οἱ πατέρες μου ἄνες μοι ἵνα ἀνα=
„ ψύξω πρὸ τοῦ με ἀπελθεῖν καὶ οὐκ=
„ έτι οὐ μὴ ὑπάρξω:

Ἱκετεύω δέ φησι δέσποτα εἰσάκου=
σον ποιμιόμενον οὐδὲ γὰρ κατοι=
κῶ τὴν γῆν. ἀλλὰ παροικῶ. καὶ
ὀλίγον βιῶσαι ἀποθανοῦμαι ὑπε=
ξελθεῖν ἐξελθὼν γὰρ πρὸς τοῦτον
οὐκ ἀναστρέψω:

„ Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβὶδ, λθ´,

Τινὲς εἰς τὸν μακάριον Ἱερεμίαν
ἄλλοι δὲ εἰς τὸν Δανιὴλ τοῦτον ἐξε=
λάβοντο τὸν ψαλμόν· ἐπειδὴ δὲ

ἐπιλάχον

εἰς λάκκον ἐβλήθησαν καὶ τῷ ἐν
τῷ προοιμίῳ τοῦ ψαλμοῦ ἀνήρ τη=
τῷ πρὸς ἐσχηκότας. εἰς ἐκείνων
ἐτράποντο τὴν διάνοιαν τινὲς δὲ
τοῖς ἐν βαβυλῶνι δοριαλώτοις
ἁρμόττειν ἔφασαν. οἱ δὲ εἰς τὰ
συμβεβηκότα τῷ δαδ γεγράφθαι
ἀναφέρετε δὲ καὶ εἰς πᾶσαν τὴν
φύσιν ταῖς τῆς ἀναστάσεως δεξα=
μένην ἐλπίδας παρὰ τοῦ θεοῦ πρὸς
δὲ ταύτην τὴν διάνοιαν ὁ ἀπόστο=
λος ἡμᾶς ποδηγεῖ μνησθεὶς ἐν τῇ
πρὸς ἑβραίους ἐπιστολῇ:

Ὑπομένων ὑπέμεινα τὸν κύριον καὶ
προσέσχε μοι καὶ εἰσήκουσε τῆς
δεήσεώς μου, καὶ ἀνήγαγέ με ἐκ
λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ

„ ἰλύος. καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς
„ πόδας μου καὶ κατεύθυναι τὰ δια=
„ βήματά μου:

Πρὸς μὲν τὸ τοῦ Δαδ πρόσωπον ἁρ=
μοζόμενα τὰ εἰρημένα τὰ ῥήμα=
τα δῆλον ἔχει τὴν ἑρμηνείαν· ὡς
γὰρ τῆς ἱκεσίας δεχθείσης ἣν ἐν
τῷ πρὸ τούτου ψαλμῷ ἐποιήσατο
καὶ τῆς αἰτήσεως δοθείσης ἀπὸ
ὑπομένον λάκκον καὶ ταλαιπω=
ρίαν καὶ ἰλὺν τοὺς μεγίστους λέγων
κινδύνους πέτραν δὲ τὴν ἑδραί=
αν στάσιν ᾆσμα δὲ καινὸν δηλῶ
ἐπὶ ταῖς εὐεργεσίαις ὑμνῳδίαν τῶν
θείων παυσαμένων ὡς δὲ
πρὸς πᾶσαν τὴν ἀνθρωπεία φύσι=
διὰ τῆς θείας ἐνανθρωπήσεως

σωθῆσι

συνθήση οὕτως λάκκος καὶ ταλαι=
πωρία ὁ θάνατος ἐκλήθη ὡς
φθορᾶς ὑπάρχῃ μεστὸς πηλὸς
δὲ ἰλύος ἡ ἁμαρτία ὡς τὸν εὐ=
θυτενῆ τῶν ἀνθρώπων ἐπέχου=
σα δρόμον καὶ πολλὴν συσσει-
μίαν ἀφιεῖσα πέτρα δὲ φησὶ ἡ
ἐκκλησία οἰκοδόμηται:-

Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου
ᾆσμα καινὸν ὕμνον τῷ θῷ ἡμῶν

Τῆς πλάνης ἐλευθερῶσαι με φησὶ
τὴν εὐθεῖαν ὑπέδειξε τῆς ἀλη=
θείας ὁδὸν καὶ ἀντὶ τῆς ἀσε=
βοῦς τῶν εἰδώλων λατρείας τὸν
ὕμνον θῷ ἐδιδάχθην ὑμνεῖν:

Ὄψονται πολλοὶ καὶ φοβηθήσονται
καὶ ἐλπιοῦσιν ἐπὶ κν̄:

οἱ μηδέποτε γεγευμένοι τῶν ἀγαθῶν
θαρσοῦντα καὶ φοβηθήσοντας καὶ
ἐλπίζουσιν ἐπὶ τὸν ὡς ἡ μὴ προ=
σεληλυθότες καὶ τῇ ἐλπίδι κρα=
τηθέντες τῆς παρὰ θεοῦ τεύξοντας
σωτηρίας:

›› Μακάριος ἀνὴρ οὗ ἐστι τὸ ὄνομα
›› κυρίου ἐλπὶς αὐτοῦ καὶ οὐκ ἐπέβλε=
›› ψεν εἰς ματαιότητα καὶ μανίας
›› ψευδεῖς:

Μακαρίζει τὸν τῶν μὲν παρόντων
κατα φρονήσαντα τὴν ἐλπίδα δὲ
τὴν θείαν ἀντὶ πάντων κτησά=
μενον:

›› Πολλὰ ἐποίησας σὺ κύριε ὁ θεός μου
›› τὰ θαυμάσιά σου καὶ τοῖς διαλο=
›› γισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθή

σεταί σοι

» ὁμοιωθήσεταί σοι; ἀπήγγειλα καὶ ἐλά-
» λησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθ-
» μόν.

Νικᾷ φησὶ ἀριθμὸν καὶ πᾶσαν διή-
γησιν τὰ ὑπὸ τῆς σῆς δυνάμεως
γινόμενα θαύματα· οὐ γάρ ἐστι
τὰ ὅμοιά σοι δρᾶσαι δυνάμενος
καὶ ἵνα μὴ καθ' ἕκαστον διεξέρχο-
μαι, τὸ νῦν τετελειωμένον πάντων
θαυμασιώτερον· ἐπὶ παντὸς γὰρ
ἔθνους πράγματα ἡ τῆς σωτηρίας
διὰ τῆς καινῆς χάριτος παυομέ-
νης τῆς παλαιᾶς λατρείας· θυσίαν
γάρ φησι καὶ προσφοράν.

» θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλη-
» σας, σῶμα δὲ κατηρτίσω μοι· ὁλο-
» καυτώματα καὶ περὶ ἁμαρτίας

" υἱέ ἐζήτησαι τό τε εἶπον ἰδοὺ ἥκω·
Αὐτὴ γὰρ τῶν νομικῶν ἱερέων τὰ
ἡμέτερα μέλη καθιερῶσι προστάτ-
τουσι ταύτην δὲ σοῦ φησὶ τὴν χάριν
εἰδὼν. ~~σε~~ ἐμαυτοῦ σοὶ προσῆγατον
ἰδοὺ παρήμαι τοῦτο παῦλος εἰς
χριστὸν λαμβάνει καὶ εἰκότως
τῆς γὰρ φύσεως ἐσὶ ἀπαρχή·
" ἐν κεφαλίδι βιβλίου γέγραπται
" περὶ ἐμοῦ
Ἤμαθεν ἐν ταῖς προφητικαῖς βίβλοις
ταῦτα περὶ ἐμοῦ προσηγόρευται
ἀκῦσαι, καὶ σύμμαχος τὴν κε-
φαλίδα εἴλημα εἶπον. ἐν τοιού-
τοις ταῖς γραφαῖς ἰουδαῖοις κατασ-
κιάζουσι:
" Τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ θεός μου
ἠβουλήθην

ἠβουλήθην καὶ τὸν νόμον σου ἐν με=
σῳ τῆς κοιλίας μου:
Προσελθὼν σοι ἀπὸ πάσας ἔχω τοῦ
δέον ταῖς σαῖς πληροῦν ἐντολαῖς καὶ
κατὰ τὸ σὸν πολιτεύεσθαι θέλημα.
τὸ δὲ ἐν μέσῳ τῆς κοιλίας μου εἴ=
ρηκεν ἐκ μεταφορᾶς τῶν περὶ
τὸν διακειμένον ἐμβαλεῖν τὸν πο=
θούμενον:
Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλη=
σίᾳ μεγάλῃ ἰδοὺ τὰ χείλη μου
οὐ μὴ κωλύσω κε σὺ ἔγνως τὴν
δικαιοσύνην μου οὐκ ἔκρυψα τὸ
ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀ=
πὸ συναγωγῆς πολλῆς:
Καὶ ὁ μακάριος Δαδ. ὑπισχνεῖται ἐν
ἐκκλησίᾳ μεγάλῃ τὴν κατὰ πάσαν

τὴν ὀικουμένην ὑπὸ τῆς θείας χά=
ριτος συλλεγεῖσαν. τὴν τοῦ θεοῦ δικαι=
οσύνην κηρύττειν καὶ τὴν τῆς προ=
φητείας ἀλήθειαν καὶ τὴν ἀξίαν
τὸν σωτηρίαν καὶ τὸν ἀμέτρη=
τον ἔλεον καὶ αὕτη ἡ ἐσομένη
θύσις ταύτη γὰρ περὶ τῆς σωτη=
ρίας ὑποσχέσθαι τὴν ἀντίδοσιν τὸ
συντρέχειν εἰς ἐκκλησίας καὶ τὰ
χείλη κινεῖν εἰς ὑμνωδίαν. καὶ
τοῦ θεοῦ τὴν δικαίαν κρίσιν ἀνα=
κηρύττειν καὶ τὴν ἄφατον δεξι=
εναι εὐδαιμονίαν καὶ τῶν προ=
φητικῶν ὑποσχέσεων ὑποδεικ=
νύναι τὸ ἀληθινὸν τὸ δὲ ἀπὸ
συναγωγῆς πολλῆς ὁ σύμμαχος
ἐν πλήθει ὁ δὲ ἀκύλας καὶ ὁ

θεοδοτίων

θεοδούλων ἐν ἐκκλησίᾳ μεγάλῃ τε-
θήκασι:

Σὺ δὲ καὶ μὴ μακρύνῃς τοὺς οἰκτιρ-
μούς σου ἀπ' ἐμοῦ τὸ ἔλεός σου
καὶ ἡ ἀλήθειά σου διὰ παντός:

Καὶ τυχοῦσα τῆς σωτηρίας ἡ τοῦ θεοῦ
ἐκκλησία λέγει πάλιν τῆς αὐτῆς
προμηθεῖσθαι διὰ τὰς ἀνθρώπων καὶ δαι-
μόνων ἐπιβουλὰς ἐξῆς μνημο-
νεύει:

Ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστι
ἀριθμός· κατέλαβόν με αἱ ἀνομί-
αι μου καὶ οὐκ ἠδυνήθην τοῦ βλέ-
πειν· ἐπληθύνθησαν ὑπὲρ τὰς τρί-
χας τῆς κεφαλῆς μου καὶ ἡ καρ-
δία μου ἐγκατέλιπέ με:

Οὐκ ἀνάρμοστα ταῦτα τὰ προειρημένα
τῆς ἑρμηνείας· οἱ γὰρ ὅροι ἑαυτοὺς

ἁμαρτωλοὺς καλοῦσι ὡς οἱ τότε παῖ-
δες ἐν τῷ καμίνῳ ὡς ὁ παῦλος βα-
λομένη τόλμῃ ἡ τοῦ θεοῦ ἐκκλησία
ταῖς παρὰ τῶν εὐσεβῶν τελκωμίαις
οὐ μέγα φρονεῖν ὡς φωνιζομένη
ἀλλὰ ἁμαρτίαις ἀναστῆσαι τὰ γινό-
μενα καὶ τῆς τοῦ σωτῆρος ἐπικου-
ρίας ἀπολαῦσαι παρακαλεῖ ἄλλως-
τε καὶ ἐπειδὴ εἰσὶ ἐν τῇ ἐκκλησίᾳ
καὶ ὁ ἑρασμὸς σύζωνται ὡς ἐξ ἑνὸς
στόματος καὶ ταῦτα καὶ τέρμα προσ-
φέρεται:

,, Εὐδόκησον κε τοῦ εὐσασθαί με κε
,, εἰς τὸ βοηθεῖσε μοι πρόσχες κα-
,, ταισχυνθήσαν καὶ ἐντραπήσαν ἅμα
,, οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξ-
,, ᾶραι αὐτήν ἀποστραφείησαν εἰς τὰ
,, ὀπίσω καὶ καταισχυνθήσαν οἱ

θέλοντές μοι:

θέλοντές μοι κακὰ κομισάσθωσαν
παραχρῆμα αἰσχύνην αὐτῶν οἱ
λέγοντές μοι εὖγε εὖγε:

Τρέψον αὐτοὺς φησὶ εἰς φυγὴν καὶ διαμαρτεῖν ὧν ἐφίενται παρασκεύασον· κατὰ γάρ μου κατλύουσιν καὶ τοῖς ἐπιτωθάζουσι καὶ ἐπεγγελῶσί μοι καὶ λέγουσι εὖγε εὖγε γενέσθω τούτοις καρπὸς ἡ αἰσχύνη:

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε κε καὶ εἰπάτωσαν διὰ παντὸς μεγαλυνθήτω ὁ κς οἱ ἀγαπῶντες τὸ σωτήριόν σου:

Τοὺς δὲ ζητοῦντάς σε φησὶ καὶ ὑμνοῦντας διηνεκῶς ἔμπλησον εὐφροσύνης καὶ ὡς τῆς σῆς ἀγάπης μεταβολὴν μὴ δεχόμενοι μὴ δεξάσθωσαν

θυμηδείας μεταβολήν:

,, ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης κύ-
,, ριος φροντιεῖ μου βοηθός μου καὶ ὑπε=
,, ρασπιστής μου εἶ σύ ὁ θεός μου μὴ
,, χρονίσῃς

Ὥσπερ ἁμαρτιῶν ἐμμνημονεύσας ἄνω οὕτω καὶ πτωχείαν ἀποκαλεῖ ὡς βοηθείας πορίζουσαν καὶ ταύτης ὅτι τάχιστα ἱκετεύει τυχεῖν· ἁρμόττει δὲ ταῦτα διαφερόντως τῷ μακαρίῳ Δαβὶδ ὃς τὴν φιλοτιμίαν τῆς χάριτος προσδοκῶν ἀντιβολεῖ μὴ χρονίσαι τὴν τε θεσπισμένην σωτηρίαν

,, Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν
,, καὶ πένητα:

Τὸν πένητα ἐν ἐνίοις οὐχ εὗρον ἀντιγράφοις οὔτε δὲ παρὰ τῷ ἑβραίῳ. οὔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς πτωχὸν μὲν τὸν καλεῖ τοῦτον

ὅλων

ὅλων τῶν ἐπειδὴ ἡμᾶς ἐπιτυχοῦσιν
μακαρίζει δὲ τὸν ταύτης σιωπῆναι
τὴν πτωχείαν δυνάμενον καὶ
ἐπὶ δύναμιν ἀνυμνῆσαι προθυ-
μούμενον τὸν ταύτην ἀναδεξάμενον.
» Ἐν ἡμέρᾳ πονηρᾷ ἐύσεται ἀτόν
» ὁ κς.
Ὁ σύμμαχος ἐν ἡμέρᾳ κακώσεως. αἰ-
νίττεται δὲ τῆς κρίσεως ἡμέρα
καὶ ὑποχρεοῦται τῷ ἐγχειρή-
γνῶσιν τῆς πτωχείας δυνάμενον
καὶ ἐπὶ δύναμιν ἀνυμνῆσαι προ-
θυμούμενον
» Ἐν ἡμέρᾳ πονηρᾷ ἐύσεται αὐτόν
» ὁ κς.
Ὁ σύμμαχος ἐν ἡμέρᾳ κακώσεως αἰ-
νίττεται δὲ τὸν τῆς κρίσεως ἡμέρα
καὶ ὑποχρεοῦται τῷ ἐγχειρή

γνῶσιν τῆς πτωχείας ἐκείνης τῶν τῆς
φοβερᾶς ἡμέρας αὐτὸν ἀπαλλάξαι
κακῶν:
,, Κέ διαφυλάξει αὐτὸν καὶ μακαριοῖ
,, αὐτὸν ἐν τῇ γῇ. καὶ μὴ παραδῷ
,, αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ.
,, Κέ βοηθήσει αὐτῷ ἐπὶ κλίνης ὀδύ
,, νης αὐτοῦ ὅλην τὴν κοίτην αὐτοῦ
,, ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ:
οὐ μόνον δὲ τῶν μελλόντων ἀγαθῶν
ἀπολαύσεται ἀλλὰ κατὰ τὸν παρόν=
τα βίον τῆς θείας τεύξεται προ=
μηθείας εἰ δὲ καὶ νόσῳ περιπέσῃ
φθάσει· παθῆς αὐτοῦ ἀπαλλάξει
τῆς ἀρρωστείας καὶ εἰς ὑγείαν τὴν
νόσον μεταβαλεῖ:
,, Ἐγὼ εἶπα Κέ ἐλέησόν με ἴασαι τὴν
ψυχήν μου

ψυχήν μου ὅτι ἥμαρτόν σοι:
Εἶτα εἰσάγει αὐτὸν τὸν κύριον τὰ κα=
θ᾽ αὑτὸν σπάζοντα ἐγώ εἰμι φησὶ
ὁ ταύτην τὴν ἑκούσιον πτωχείαν
ἀναδεξάμενος ὡς ἀπαρχὴ τῆς ἀτί=
μης φύσεως ὁ σύμμαχος ἡμαρ=
τόντων:
›› οἱ ἐχθροί μου εἶπον κακά μοι πότε
›› ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα
›› αὐτοῦ:
Ὑπὲρ αὐτῆς τὴν παράκλησιν φέρεται ἐχ=
θροὺς τοὺς ἰουδαίους φησὶ βασ=
καίνοντα καὶ τὸν θάνατον καλόν=
τας εἶτα ἐπὶ τὸν ἰούδα μετατρέφει
τὸν λόγον:
›› Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν μάτην ἐλά=
›› λει ἡ καρδία αὐτοῦ. συνήγαγεν

ἀνομίαν

» ἀνομίαν ἑαυτῷ, ἐξεπορεύετο ἔξω καὶ
» ἐλάλει:

Εἰσιὼν φησὶ καὶ ἐξιὼν ὅπως τεύξεται ἐκεῖνος τὸν θάνατον. εἶτα τὴν κακὴν αὐτῶν συμφωνίαν προλέγει. ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ.

» Ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ ἐψιθύριζον
» πάντες οἱ ἐχθροί μου κατ' ἐμοῦ
» ἐλογίζοντο κακά μοι, λόγον παράνο-
» μον κατέθεντο κατ' ἐμοῦ:

Ἡσυχῆ γὰρ πρὸς ἀλλήλους διαλεγόμενοι τὴν ἐπιβουλὴν ἐξήλωσαν τοῦ τρόπου [illegible] γραφὴν ποιούμενοι κατ' αὐτοῦ· τὸ γὰρ λόγον παράνομον· γραφὴν εἰς κατηγορίαν ἐποιήσατο κατ' ἐμοῦ:

» Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ

ἀναστῆναι

" ἀναστῆναι:
Καὶ τὸν θάνατόν φησι ὑπομεῖναι: οὐκ
ἀνίσταμαι πάλιν:
" Καὶ γὰρ ὁ ἄνος τῆς εἰρήνης μου ἐφ'
" ὃν ἤλπισα ὁ ἐσθίων ἄρτους μου
" ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.
Τοῦτο ὁ Σύμμαχος καὶ Θεοδοτίων
σαφέστερον εἰρήκασιν καὶ γὰρ ἀνὴρ
εἰρήνης μου, ᾧ ὑπεπείθην. οὐ μό=
νον οἱ ἐχθροὶ ἀλλὰ καὶ ὁ συνήθης μοι
ἄνθρωπος καὶ τὴν εὔνοιαν ὑποκει=
νόμενος συμπαρεσκεύαζέ μοι τὸν
θάνατον φησὶ ὁμοτράπεζός μοι
καὶ σύσσιτος ὃν εἶχεν εὐχὸν ἐμ=
μύσεν τὸν γὰρ δόλον ἐγκρύμενον
πτέρναν ὠνόμασεν ἐκ μεταφορᾶς

τῶν περὶ τάχους ἀγωνιζομένων καὶ τῇ πτέρνῃ τοῦ συνθέοντος προσπταίειν ὁμοῦ καὶ πίπτειν μηχανωμένων:

„ Σὺ δὲ κέ ἐλέησόν με καὶ ἀνάστησόν
„ με καὶ ἀνταποδώσω αὐτοῖς ἐν τού-
„ τῳ ἔγνων ὅτι τεθέληκάς με ὅτι
„ οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ'
„ ἐμέ ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀν-
„ τελάβου καὶ ἐβεβαίωσάς με ἐνώ-
„ πιόν σου εἰς τὸν αἰῶνα:

Ταῦτα πάντα ὡς ἀπὸ τῆς ἀληθινῆς εἴρηται φύσεως περὶ ἣν τὸ πάθος ἐγένετο ἐπεὶ οὖν πάσης κακίας ἡ ἀληθινὴ φύσις ἐλευθέρα διέμεινεν εἰπόντος ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου βεβαίαν γὰρ φυσι-

γὰρ φησὶ ἐδοξάμεν τὴν ἕνωσιν καὶ
ἄληπτος ἡ συναφεία καὶ ἡ δό-
ξα αἰώνιος:
εὐλογητοὶ ὁ θεὸς τοῦ ἰσραὴλ ἀπὸ
τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα
γένοιτο γένοιτο:
Θαυμάσαι τὴν ἄρρητον τοῦ δεσπότου
φιλανθρωπίαν ὁ μακάριος δαδ
καὶ σώσας τὴν ἐθελούσιον πτωχεί-
αν ἀναδεξάμενον ὕμνον αὐ-
τῷ μετὰ τὸ πάθος προσφέρει
δεικνὺς ὅτι θεὸς ἐστὶν αἰώνιος:
Εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς
κορὲ ψαλμός:
Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος
ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων οὕτως

" ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ θ(εό)ς
" ἐδίψησε ἡ ψυχή μου πρὸς τὸν θ(εὸ)ν
" τὸν ἰσχυρὸν τὸν ζῶντα πότε
" ἥξω καὶ ὀφθήσομαι τῷ προσώ-
" πῳ τοῦ θ(εο)ῦ ἐγενήθη τὰ δάκρυ-
" ά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ
" νυκτός:

Φησὶ τὰς ἐλάφους τὰ ὄφεα θοινᾶσθαι
θηρία καὶ σφοδρότερον ἐντεῦθεν
εἰς δίψαν ἐκκαίεσθαι καὶ θερμό-
τερον τῶν ὑδάτων ἀφίεσθαι. ἐπεὶ
ὅτι βαβυλωνίοις οὗτοι σιωπῶσιν
αἰχμαλῶτοι ἑρπετικοῖς ἐοικόσι θηρίοις
ἐλάφοις παραπλησίως εἶχον δί-
ψαν τὸν θ(εὸ)ν τῷ ἐκεῖθεν ῥοπῷ
προσμένοντες τὸ δὲ ὀφθῆναι τῷ

προσώπῳ

πρόσωπον λατρεύειν αὐτῷ κατὰ
νόμον φησὶν ἔτι γὰρ ἰσχίμων ἤτοι
αὐτὴ περιαεισολατεία ἰσήμυρον
δὲ ζῶντα αὐτὸν ἁρμοδίως φησὶ
τοῖς ἀψύχοις καὶ ἀκινήτοις εἰδώ=
λοις τῶν βαβυλωνίων προσέ=
χοντες
ἐν τῷ λέγεσθαί μοι καθεκάστην ἡμέ=
ραν ποῦ ἐστιν ὁ θεός σου ταῦτα ἐμ=
νήσθην καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν
ψυχήν μου:

Ταῦτα φησὶ τὰ ὀνείδη λογιζόμενος
διηνεκῶς ἄπαυστον ἔχω τὸν θρῆ=
νον τὸ γὰρ ἐξέχεα ἀντὶ τοῦ διεχύ=
θην καὶ ἐκινήθην ἐπὶ ὀδυρμούς.
Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς
θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ θεοῦ

" ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομο-
" λογήσεως ἤχου ἑορτάζοντος ἵνα τί
" περίλυπος εἶ ἡ ψυχή μου· καὶ ἵνα τί
" συνταράσσεις με· ἔλπισον ἐπὶ
" τὸν θεόν ὅτι ἐξομολογήσομαι
" αὐτῷ:

Ἐκλιπὼν τὴν τοῦ θεοῦ σκέπην μετὰ τὰ σκυθρωπὰ σὺν διαγορεύει τὰ θυμήρη ὡς τάχιστα μετὰ τιμῆς ἀνακληθήσονται καὶ τὸν οἶκον οἰκοδομήσουσι καὶ τὰς συνήθη πανηγύρεις τελέσουσιν καὶ τὴν πνικτῶν μελῳδίαν ταῖς ἀκοαῖς εἰσδέξονται χορεύοντες κατὰ τὴν ὁδόν· διὰ τοῦτο καὶ σφᾶς αὐτοὺς ψυχαγωγοῦσιν λέγοντες ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου

ψυχή μου:
Σωτήριον τοῦ προσώπου μου καὶ ὁ
θεός μου πρὸς ἐμαυτὸν ἡ ψυχή μου
ἐταράχθη διὰ τοῦτο μνησθήσο-
μαί σου ἐκ γῆς ἰορδάνου καὶ ἑρ-
μωνιεὶμ ἀπὸ ὄρους μικροῦ:
Ἠθοποιία τίς ἐστι ψυχῆς πρὸς δὲ αὐτὴν
διαλεγομένης ἐπειδὴ δὲ εἶπεν
παῦσαι ἀθυμοῦσα τῶν ἀγαθῶν
δεξαμένη τὰς ὑποσχέσεις ἀποκρί-
νεται πρὸς ταῦτα ὅτι οὐ μάτην ἀ-
λύως καὶ ἀσχαλύως καὶ ἀσχάλω
ἡ γὰρ μνήμη τῆς πατρῴας γῆς κινεῖ
μοι τὰ δάκρυα διὰ γὰρ τὸν ἑρ-
μωνιεὶμ ὄρους ὅ ἐστι ἀερμὼν
καὶ τοῦ ποταμοῦ πᾶσαν τὴν γῆν
τῆς ἐπαγγελίας φησὶ οὕτως ὁ συμ-

ὁ σύμμαχος· ἡ ψυχή κατατήκεταί μοι ὅ-
ταν ἀναμιμνησκομένη ἀπὸ σοῦ
ἀπὸ γῆς Ἰορδάνου καὶ ἀπὸ Ἑρμω-
νιεὶμ ὄρους μικροτάτου:
Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς
φωνὴν τῶν καταρρακτῶν σου· πάν-
τες οἱ μετεωρισμοί σου καὶ τὰ κύ-
ματά σου ἐπ' ἐμὲ διῆλθον:
Ἐν ἐκείνῃ φησὶ διάγων τῇ γῇ· πλή-
θει δυσμενῶν παρεδόθην· ἄβυσσοι
γὰρ τὰ στρατιωτικὰ τάγματα φησὶ
ὕδασι πολλοῖς εἰκαζόμενα καὶ τὰ
ὑπ' αὐτῶν γεγενημένα τῷ πάλαι
κατακλυσμῷ ἐοικότα ἑκατέρου
ἀβύσσου ἀπωλεία ἀπὸ ἦχον τῶν
κρουνῶν σου· σὺ γὰρ αὐτοὺς ἐπή-
γαγες ποινὴν τῆς παρανομίας

πραττόμενος

πρατλόμενος αἱ καταιγίδες σου καὶ
τὰ κύματά σου ἐπάνω μου διῆλ=
θον· ἐπειδὴ γὰρ ἀβύσσῳ τῶν στρα=
τιῶν ἀπήκασεν ἐπέμεινεν τῇ
τροπῇ καὶ τὰς γεγενημένας προσ-
βολὰς κύματα καὶ καταιγίδας
προσηγόρευσεν διὰ ταῦτα φησὶ
ὀδύνωμαι ἀλλ᾽ ὅμως τῆς θείας φι=
λανθρωπίας ἔχω παραψυχὴν
τοῦτο γὰρ ἐπήγαγεν ἡμέρᾳ ἐντε=
λεῖται:

" Ἡμέρας ἐντελεῖται κύριος τὸ ἔλεος αὐτοῦ
" καὶ νυκτὸς ᾠδὴ αὐτοῦ παρ᾽ ἐμοὶ προ=
" σευχὴ τῷ θεῷ τῆς ζωῆς μου

Ἀεὶ φησὶ τοῦ χορηγουμένου ἔλεον
ὑπὸ θεοῦ ἀπολαύμενος ᾄδω καὶ ὑμνῶ
ταύτης τυχὼν τῆς φιλανθρωπίας

ἀντιβολῶ εἶτα διδάσκει τῆς προσευ=
χῆς τὰ ῥήματα:

" Ἐρῶ τῷ θεῷ ἀντιλήπτωρ μου εἶ
" διατί μου ἐπελάθου καὶ ἱνατί
" σκυθρωπάζων πορεύομαι ἐν τῷ
" θλίβειν τὸν ἐχθρόν:

Ταῦτα φησὶ λέγω διατὸ ἐπιχειρούμεν
με τοὺς ἐχθρούς τὸ δὲ ἐπελά=
θου ἀντὶ τοῦ δὲν σὲ μὲ προνοῆς:
οὐ μεταβλήτως λήθη γὰρ πάθος
ἀνθρώπινον ἴδιον δὲ θεοῦ ἀπά=
θεια:

" Ἐν τῷ καταθλίβεσθαι τὰ ὀστᾶ μου
" ὠνείδιζόν με οἱ ἐχθροί μου ἐν τῷ
" λέγειν αὐτοὺς μοι καθ' ἑκάστην ἡ=
" μέραν ποῦ ἐστι ὁ θεός σου:

Αἰκιζόμενος με φησὶ καὶ πληγαῖς καὶ

δεσμοῖς

δεσμοῖς τὰ ὀστᾶ μου συντρίβοντες
διὰ τὴν σὴν ἀσθένειαν ταῦτα με
πάσχειν ὑπελάμβανον:

Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου· καὶ
ἵνα τί συνταράσσεις με· ἔλπισον
ἐπὶ τὸν θεὸν ὅτι ἐξομολογήσομαι
αὐτῷ σωτήριον τοῦ προσώπου=
μου καὶ ὁ θεός μου:

Μὴ ἀπαγορεύσῃς φησὶ ψυχή μου τὴν
σωτηρίαν· ἔχεις γὰρ θεὸν οὗ τὴν
ἐλπίδα κέκτημαι· σβέσων τὴν ἀ=
θυμίαν καὶ προσμεῖνον τὸ τέλος
ἵνα τὴν σωτηρίαν ὁρῶσα ὕμ=
νους προσοίσεις τῷ δεδωκότι θεῷ:

Ψαλμὸς τῷ δαδ ἀνεπίγραφος
παρ' ἑβραίοις:

Ἀνεπίγραφος ἐστὶ ὁ ψαλμὸς ὡς τὴν

αὐτῷ ἔχων τῷ πεφωτισμένῳ διανοί-
αν:
Κρῖνόν με ὁ Θεὸς καὶ δίκασον τὴν
δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου
ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολί-
ου ῥῦσαί με ὅτι σὺ ὁ Θεὸς κραταί-
ωμά μου:
Ἀντιβολοῦσι δὲ τὸν Θεὸν δικάσαι αὐ-
τοῖς καὶ βαβυλωνίοις ὠμότητι
πολλῇ κεχρημένους κατ' αὐτῶν
ἄνδρα δὲ δόλιον καὶ ἄδικον
τοῦτον τὸν βασιλέα φησί:
„ Ἵνα τί ἀπώσω με καὶ ἵνα τί σκυ-
„ θρωπάζων πορεύομαι ἐν τῷ ἐκ-
„ θλίβειν τοὺς ἐχθρούς:
Τὸ ἵνα τί οὐχ ὡς ἐγκαλοῦντες λέγουσι
οἱ ἄγιοι ἀλλὰ αὐτοὶ τὰς τῶν ἄλλων

παρανομίας

παρανομίαις ὁ κοινωνήσαντες καὶ
σὺν ἐχθροῖς ἔρημοι τῆς ἄνω=
θεν προνοίας γενόμενος κοινὴν
δὲ ὅμως ὑπὲρ ἁπάντων ποιοῦν
ται τὴν ἱκεσίαν:
,, Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν
,, ἀλήθειάν σου αὐταί με ὁδήγησαν
,, καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου
,, καὶ εἰς τὰ σκηνώματά σου καὶ εἰ=
,, σελεύσομαι πρὸς τὸ θυσιαστήρι=
,, ον τοῦ θεοῦ πρὸς τὸν θεὸν τὸν
,, εὐφραίνοντα τὴν νεότητά μου
,, ἐξομολογήσομαί σοι ἐν κιθάρα
,, ὁ θεὸς ὁ θεός μου ἵνα τί περίλυπος εἶ
,, ψυχή μου καὶ ἵνα τί συνταράσσεις με
,, ἔλπισον ἐπὶ τὸν θεὸν ὅτι ἐξομο=
,, λογήσομαι αὐτῷ σωτήριον τοῦ προ=

τοῦ προσώπου μου καὶ ὁ θεός:

Ἐνταῦθα τὸν χρόνον οἱ ο' καὶ ὡς
γεγενημένα εἶπον τὰ ἐσόμενα οἱ
δὲ ἄλλοι σαφέστερον ἡρμήνευσαν
ἀπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλή-
θειάν σου αὐτὰ ὁδηγήσει με καὶ
ἄξει με εἰς τὸ ὄρος τὸ ἅγιόν σου
καὶ εἰς τὰ σκηνώματά σου σκηνώ-
ματα τοίνυν θεοῦ τὸν ναὸν προση-
γόρευσεν ὄρος δὲ ἅγιον τὸ σιὼν
φῶς δὲ καὶ ἀλήθεια τὴν δικαιο-
σύνην καὶ δίκαια σωτήριον ἐπι-
φάνειαν ὥσπερ γὰρ σκότος τὰς
συμφορὰς ὀνομάζει οὕτω φῶς
τὴν τούτων ἀπαλλαγὴν οὕτω δὲ τὰ
ἑξῆς ὁ σύμμαχος ἵνα ἐλθὼν
πρὸς τὸ θυσιαστήριον τοῦ θεοῦ πρὸς

τὸν θεὸν

τὸν θεὸν τὸν εὐφροσύνην τῆς εὐθυμί=
ας μου καὶ ἐξομολογήσομαί σοι
ἐν ψαλτηρίῳ ὁ θεὸς ὁ θεός μου:
Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν:
Καὶ οὗτος προγραμμάτων ἐσομεχ. προσ=
ρησιν ἔχει διὰ τὸ τέλος παραγγ
διαμέτρως εἰς σύνεσιν δὲν ἵνα
συνιέντες τὰ γεγραμμένα τὴν
ὠφέλειαν ἁρπάσωσι προσαρμόζει
δὲ ὁ ψαλμὸς τὴν μακεδονικὴν
ὁμοιότητα καὶ τὴν ἀντιόχου τοῦ ἐπι=
φανοῦς θηριώδη γνώμην καὶ
τῶν μακκαβαίων τὴν ἀνδρείαν
καὶ τὴν εὐσέβειαν ματταθίας γὰρ
ὁ μακάριος ζήλῳ μετὰ τῶν παί=
δων χρησάμενος τὰς πολλὰς τῶν
μακεδόνων μυριάδας οὐδὲν

χρησάμενος διὰ τὸ γεγυμνῶσθαι τὴν θείαν προμήθειαν· μετ᾽ ὀλίγων ἐστράτευσεν αὐτοῖς καὶ νικήσας καθεῖλε τοὺς βωμοὺς τῶν εἰδώλων τὸν θεῖον ναὸν ἐξεκάθηρεν καὶ τὴν σωτήριον λατρείαν τοῖς ὁμοφύλοις ἀπέδωκεν καὶ οἱ αὐτοῦ δὲ παῖδες πολλὰ ἴδον τρόπαια κατ᾽ ἐκεῖνον προσευχόμενοι ἐκ προσώπου τοίνυν αὐτῶν ὁ ψαλμὸς διδάσκων οἷς εἶναι τοὺς ἐν κινδύνοις προσήκει χρῆσθαι λόγοις:

„ Ὁ θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσα-
„ μεν οἱ πατέρες ἀνήγγειλαν ἡμῖν
„ ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέ-
„ ραις αὐτῶν ἐν ἡμέραις ἀρχαίαις:

Αὐτόπται μὲν ἡμεῖς τῶν σῶν θαυμάτων

οὐ γεγενήμεθα

οὐ γὰρ ἠπιστάμεθα δὲ ταῦτα παρὰ δὲ πα-
τέρων ἐμάθομεν ὅσα κατ' ἐκεί-
νους εἰργάσω τοὺς χρόνους τὰς
πρὸς τοὺς ἡμετέρους προγόνους
ἐπαγγελίας πληρῶν:

Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσεν
καὶ κατεφύτευσας αὐτούς· ἐκά-
κωσας λαοὺς καὶ ἐξέβαλες αὐ-
τούς· οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐ-
τῶν ἐκληρονόμησαν γῆν καὶ ὁ
βραχίων αὐτῶν οὐκ ἔσωσεν
αὐτούς ἀλλ' ἡ δεξιά σου καὶ ὁ
φωτισμὸς τοῦ προσώπου σου ὅτι
εὐδόκησας ἐν αὐτοῖς:

Εὖ φησὶ τοὺς χαναναίους μετὰ τῶν
ἄλλων ἐθνῶν ἐντεῦθεν ἐξελάσαι

κατώκησας τοὺς πατέρας ἡμῶν οὔ-
τε γὰρ ῥώμῃ θαρροῦνται οὔτε πα-
νοπλίᾳ κρείττους ἀπεφάνθησαν
ἀλλ᾽ ὑπὸ τῆς σῆς στρατηγούμενοι
χάριτος καὶ τῆς σῆς οἰκειότητος
ἀξιωθέντες ταῦτα εἰργάσαντο
τοῦτο γὰρ ὅπερ εὐδόκησας ἐν
αὐταῖς δεξιὰν δὲ καλεῖ τὴν βο-
ήθειαν φωτισμὸν δὲ προσώπου
τὴν ἐπιφάνειαν:

,, σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ
,, ὁ θεός μου ὁ ἐντελλόμενος τὰς σω-
,, τηρίας ἰακὼβ ἐν σοὶ τοὺς ἐχθροὺς
,, ἡμῶν κερατιοῦμεν καὶ ἐν τῷ
,, ὀνόματί σου ἐξουδενώσομεν τοὺς
,, ἐπανισταμένους ἡμῖν:

„ ἡμῶν
Οὗτος ὁ σύμμαχος ὁ αὐτός ἐστι φησί
καὶ μὴν βασιλεὺς ἀρκέσει λόγος
εἰς σωτηρίαν. νεῦσον καὶ ταύτης
ὁ σὸς λαὸς ἀπολαύσεται εἶτα ἐν
σοὶ τοὺς ἐχθροὺς φησὶ ἡμῶν
κερατιοῦμεν. τὰ κέρας φορὰ ζῶ=
α ὅπλον τὸ κέρας παρὰ τῆς φύ=
σεως ἔλαβον ἡμεῖς δὲ νικηφό=
ρον ὅπλον τὸ σὸν ἔχομεν ὄ=
νομα δι' οὗ τῶν πολεμίων
περιεσόμεθα ὅλην τὴν ἡμέραν
„ καὶ ἐν τῷ ὀνόματί σου ἐξομο=
„ λογησόμεθα εἰς τὸν αἰῶνα:
Οὔτε γὰρ τοῖς ὅπλοις θαρρῶ ἀλλὰ
παρὰ τῆς σῆς ἔλαβον δυνάμεως

ζάσου τῶν ἐναντίων κρατῆσαι
εἶτα φησὶ ἐν τῷ θεῷ ἐπαινεθησό=
μεθα ὅλην ἱκετεύσομεν δὲ ἀεὶ
τὴν σὴν ἀπολαῦσαι ῥοπὴν καὶ
διηνεκῶς τῶν σῶν εὐεργετημάτων
διεξιέναι τὸ πλῆθος τὸ γὰρ ὅλην
τὴν ἡμέραν ἀντὶ τοῦ ἀεὶ τέθει=
κεν ὁ δὲ σύμμαχος κατὰ πά=
σαν ἡμέραν ἡρμήνευσεν:

» Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας
» καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς
» δυνάμεσιν ἡμῶν ἀπέστρεψας
» ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς
» ἐχθροὺς ἡμῶν καὶ οἱ μισοῦντες
» ἡμᾶς διήρπαζον ἑαυτοῖς:

Ταῦτα μὲν ἐν τοῖς ἄνω χρόνοις γεγέ=

νηται

γεγένωτας παρὰ σοῦ· ἐπειδὴ δὲ τοῦ
παρόντος ἔρημοι τῆς σῆς ἀπεφάν=
θημεν προμηθείας καὶ ἐν αἰσ=
χύνῃ διάγομεν ὑπὸ τῆς σῆς οὐ
στρατηγούμενοι χάριτος· τὸ γὰρ
οὐκ ἐξελεύσῃ ταῖς δυνάμεσιν
ἡμῶν ἀντὶ τοῦ οὐ στρατηγῆς ἡμῶν
καὶ συμπαθῶς παρέχεις τῶν πο=
λεμίων κρατεῖν· τὸ δὲ ἀπέστρε=
ψας ἡμᾶς ἀντὶ τοῦ τῆς σῆς προ=
νοίας οὐκ ἀπολαύοντας ἡμεῖς μὲν
νῶτα διδόντες ἀποδιδράσκομεν
πορθοῦσι δὲ οἱ πολέμιοι τὰ
ἡμέτερα:

›› Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσε=
›› ως καὶ ἐν τοῖς ἔθνεσι διέσπει

ρας

διέσπειρας ἡμᾶς:
Δικαίως δὲ προβάτων ἐστερημένοι ποι=
μένος ὑπὸ τῶν σῶν δαπανώμε=
θα πολεμίων καὶ οὕτον θανά=
των διαφθαρόντες ἢ δὲ κακεῖσε
: ἀπεμπολούμενοι δουλεύειν ἀναγ=
καζόμεθα
„ Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς
„ καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλα=
„ λάγμασιν ἡμῶν:
Τοῦτο ὁ σύμμαχος οὕτως ἡρμήνευ=
σε ἀπέδου τὸν λαόν σου οὐχ ὑ=
πάρξεως καὶ οὐ πολλὴν ἐποίησας
τὴν τιμὴν αὐτοῦ τοιαῦτα καὶ διὰ
ἡσαΐου φησὶ ὁ θεός ποῖον τοῦτο
τὸ βιβλίον τοῦ ἀποστασίου τῆς

μητρός

μῆς ἡμῶν ἢ τίνι ὑπόχρεως ὢν πέ=
πρακα ὑμᾶς ἰδοὺ ταῖς ἀνομίαις
ὑμῶν ἐπράθητε καὶ οὐ μετὰ ἀρ=
γυρίου λυτρωθήσεσθαι καὶ ταῦ=
τα τοῖς μὲν ὑπόχρεως ὢν πέπρα=
κα ὑμᾶς ἰδοὺ ταῖς ἀνομίαις ὑμῶν
ἐπράθητε καὶ οὐ μετὰ ἀργυρίου
λυτρωθήσεσθαι καὶ ταῦτα τοῖ=
μὲν φασί· ὅτι οὐδὲ μίαν τιμὴν·
παρὰ τῶν πολεμίων λαβὼν
ἀπέδου ἡμᾶς ἀλλὰ τῶν ἁμαρ=
τιῶν ἕνεκα παρέδωκε:
„ Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν
„ ἡμῶν μυκτηρισμὸν καὶ χλευα=
„ σμὸν τοῖς κύκλῳ ἡμῶν:
Γείτονας καλεῖ κύκλῳ κατοικοῦν=
τας

κατοικοῦντας τοὺς ἀλλοφύλους καλεῖ·
καὶ ἰδοὺ μάγους καὶ μωαβίτας καὶ
τοὺς λοιποὺς πλησιοχώρους οἱ
ἐπίχαρτοι γεγόνασι πολεμοῦμενοι
„ ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν
„ τοῖς ἔθνεσι κίνησιν κεφαλῆς ἐν
„ τοῖς λαοῖς ὅλην τὴν ἡμέραν ἡ
„ ἐντροπή μου κατενάντιόν μου ἐστὶ
„ καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου
„ ἐκάλυψέ με ἀπὸ φωνῆς ὀνει=
„ δίζοντος· καὶ καταλαλοῦντος ἀπὸ
„ προσώπου ἐχθροῦ καὶ ἐκδιώ=
„ κοντος:

Τὰς μεγάλας συμφορὰς διηγού=
μενοι καὶ ἀκούοντες κινεῖν τὰς
κεφαλὰς εἰώθαμεν ὑπὲρ ἐκ

πλήξεως

πλήξεως τοῦτο δρᾶν βιαζόμενοι. καὶ
πάθη πάθεσι παραβάλλοντες λέ=
γομεν ὅτι ταῦτα ἔπαθεν ὅδε ἵνα
τοῦτο κἂν ταῦθα ὀδύρονται ὅτι
παραβολῇ γεγενήμεθα τοῖς ἀν=
θρώποις καὶ κινοῦσιν ἔθη ταῖς:
οἱ μὲν ἐφηδόμενοι οἱ δὲ τὴν
ὑπερβολὴν τῶν γεγενημένων
θαυμάζοντες ἐγὼ δὲ τοὺς μὲν
πολεμοῦντας τοὺς δὲ γελῶντας
βλέπων καὶ ἐπιτωθάζοντας αἰσ=
χρῶς ἀνεπιτωθάζονται αἰσχρῶς
ἀναπίπλαμαι καὶ πᾶσαν ἡμέραν
ὀδύρομαι εἶτα τὴν οἰκείαν δε=
ξίασιν ἀρετῶν οἱ ταῖ ἀντιόχου
πάγας διαφυγόντες καὶ τὴν ἀσε=
βείας ταῖς ἄρκυς ὑπεκδύσαντα:

» Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς καὶ οὐκ
» ἐπελαθόμεθά σου καὶ οὐκ ἠδική-
» σαμεν ἐν τῇ διαθήκῃ σου καὶ
» οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία
» ἡμῶν:
Ὑπὸ τὸ σουλτὸν περιχλυσθέντες οὐκ
ἐδεξάμεθα λήθην τῶν σῶν
ἐντολῶν οὐδὲ παραβιῶσαι τῶν σῶν
ἐτολμήσαμεν νόμων οὐδὲ τῆς
προτέρας ἐξετράπημεν γνώμης:
» Καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν
» ἀπὸ τῆς ὁδοῦ σου ὅτι ἐταπείνω-
» σας ἡμᾶς ἐν τόπῳ κακώσεως. καὶ
» ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανά-
» του. εἰ ἐπελαθόμεθα τοῦ ὀνό-
» ματος τοῦ θεοῦ ἡμῶν καὶ ἐπετά-
σαμεν

" ἐξεπετάσαμεν τὰς χεῖρας ἡμῶν πρὸς
" θεὸν ἀλλότριον· οὐχὶ ὁ θεὸς ἐκζη=
" τήσει ταῦτα αὐτὸς γὰρ γινώσ=
" κει τὰ κρύφια τῆς καρδίας ὅτι
" ἕνεκα σοῦ θανατούμεθα ὅλην
" τὴν ἡμέραν ἐλογίσθημεν ὡς
" πρόβατα σφαγῆς:

Οὗτος ὁ σύμμαχος οὐ μετεκλί=
θη τὰ ὑπερθοῦντα ἡμᾶς ἀπὸ τῆς
ὁδοῦ σου πολλοῖς φησὶ ἡμᾶς
ἀλγεινοῖς περιέβαλες ἅπερ ἱ=
κανὰ τὸ ἐκτρέψαι τῆς ὁδοῦ σου
σκιὰν δὲ θανάτου φησὶ τοὺς
πρὸς θάνατον ἄγοντας κινδύ=
νους τὸ δὲ εἰ ἐπελαθόμεθα ἀν=
τὶ τοῦ σὺ οἶδας δείκνυσι καὶ γὰρ

ταύτην τὴν ἀρετὴν ἐπεδείξαντο οἱ μα-
καβαῖοι· οὐ γὰρ μόνα τὰ πράγ-
ματα δῆλα ἀλλὰ καὶ τὰ τῆς ἐννοί-
ας κινήματα σημειωτέον. δὲ ἐστι
δύο πρόσωπα ὁ λόγος ἠνίξατο
εἰπὼν γὰρ οὐχὶ δι' ἐκζητήσει
ταῦτα ἐποίησαν ὅτι ἕνεκα σοῦ
θανατούμεθα:

„ Ἐξεγέρθητι ἵνα τί ὑπνοῖς κέ ἀνά-
„ στηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος:

Ὕπνον τὴν μακροθυμίαν καλεῖ
καθάπερ γὰρ ὁ καθεύδων οὐκ
ἐπαισθάνεται τῶν γινομένων οὕτως
ὁ μακροθυμίᾳ χρώμενος καὶ
παροινούμενος καὶ προπηλακι-
ζόμενος φέρεται ἀνάστασιν ὀνό-

μάζει

ὀνομάζει εἶτα τὰ αὐτὰ πάλιν ἑτέ-
ρως φησί:
" Ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέ-
" φεις, ἐπιλανθάνῃ τῆς πτωχείας
" ἡμῶν; ὅτι ἐταπεινώθη εἰς χοῦν
" ἡ ψυχὴ ἡμῶν· ἐκολλήθη εἰς τὴν
" ἡ γαστὴρ ἡμῶν:
Παρορᾷς τὰ καθ' ἡμῶν γινόμενα καὶ
ἔοικας ἀποστρεφομένῳ καὶ οὐ
θεομένῳ ἡμεῖς δὲ πτωχεύο-
μεν τὴν σὴν ἐπικουρείας· τὸ δὲ
ὅτι ἐταπεινώθη εἰς χοῦν μέχρι
γὰρ τῆς γῆς αὐτῆς κατακαμφθῆ-
μεν ὡς τὴν γαστέρα ἡμῶν αὐτῇ
πελάσαι τῇ γῇ· διὰ δὲ τούτων τὴν
πολλὴν σημαίνει ταπείνωσιν καὶ

τῶν πολεμίων τὸ κράτος·

" Ἀνάστα κε βοήθησον ἡμῖν καὶ λύ-
" τρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόμα-
" τός σου·

Οὐ δὴ χάριν ἀντιβολοῦμεν δέσποτα ἐπιφανῆναι καὶ λῦσαι τὰς συμφορὰς ταῦτα δὲ ἅπαντα προεῖπε ἡ τοῦ πνς χάρις τοὺς ἐν ἐκείνοις τοῖς δεινοῖς ἐσομένους διδάσκουσα καὶ γενναίως ἐνεγκεῖν τὰ προσπίπτοντα καὶ παρὰ θυ τῶν ὅλων αἰτῆσαι τὴν τούτων ἀπαλλαγήν.

" εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομέ-
" νων τοῖς υἱοῖς κορὲ εἰς σύνεσιν
" ὑπὲρ τοῦ ἀγαπητοῦ·

Τὰ λυπηρὰ προειρηκὼς ἐν τῷ πρὸ τούτου ψαλμῷ νῦν τὰ θυμήρη

φησί

φησὶ δεδαίκαμεν ὅτι καὶ νικήσου=
σι καὶ τῆς θεοῦ· τεύξονται βοηθείας.
ἕως ἂν ὁ βαπτιστὴς τοῦ θεοῦ υἱός:
ἐξ αὐτῶν κατὰ σάρκα βλαστήσει
ὃς τὴν χαλκῶν ἀλλοίωσιν διὰ τοῦ
βαπτίσματος τοῖς περὶ τούτων
γὰρ ὁ ψαλμὸς θεσπίζει τῶν
μὲν γὰρ πατρῴων ἐπιλαθέσθαι
θεῶν παρεγγυῶν τὸν δὲ ἀληθι=
νὸν ἀληθῶς γεραίρειν θεὸν τοὺς
ἀλλοιωθησομένους ὁ μὲν σύμ=
μαχος ἀνθηκέκληκεν ἀκύλας
δὲ καὶ θεοδοτίων χάλκα
ἀπὸ τοῦ ἱερέως βλαστῆς ἕως δὲ πρὶ
νὸν τοῦ σωτῆρος ἡ παρουσία
ἐνῆ κατὰ τὸν ἠσαΐαν ἡ πάλαι

ἔρημος τῷ θήσειν ὡς κεῖνον:
„ Ἐξηρεύξατο ἡ καρδία μου λόγον
„ ἀγαθόν:
Πνευματικοῖς ἐντρεφόμενος λόγοις
τοιαύτας καὶ τὰς ἐρυγὰς ἀναπέμ=
πω καὶ τοὺς λόγους προΐεμαι:
„ Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ:
Οἱ ἀγαπητοὶ ἡ προγραφὴ κέκληται
τοῦτον βασιλέα φησὶ τὸ προοίμι=
ον ἔργα δὲ τῆς προφητείας ἀ=
ληθεῖς λόγους ὁ τὰ ἐσόμενα προ=
θεσπίζων λέγει τοίνυν ἐπὶ πρό=
αὐτοῦ τοῦ βασιλέως ποιοῦμαι
τοὺς λόγους. δηλῶν δὲ ὅτι οὐκ
ἀνθρωπίνοις ἀλλὰ θείοις κέχρη=
ται λόγοις ἐπήγαγε

ἡ γλῶσσά μου

" Ἡ γλῶσσα μου κάλαμος γραμματέ-
" ως ὀξυγράφου:
Οὐδὲν φησὶ ὀκνηρὸν φθέγγομαι
ἀλλ' ὑπουργὸς ἑτέρας ἐνεργείας
ἡ γλῶσσα γίνεται καὶ αὐτὴ μὲν
μιμεῖται κάλαμον οὐδὲ χάρις
τοῦ πνς γραμματέα ταχὺ διὰ
ταύτης βούλεται γράφουσα ἅτα
ἄρχεται τῆς προρρήσεως:
" Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς
" τῶν ἀνων ἐξεχύθη ἡ χάρις
" ἐν χείλεσίσου διὰ τοῦτο εὐλό-
" γησέ σε ὁ θς ὁ θς εἰς τὸν αἰῶ-
" να:
Σὺ φησὶ ὃν ὀνομάσαι βασιλέα κα-
λεῖν μηνύκαι τῶν ἀνων τὴν φύ
σιν

φύσιν. Θεοῦ δὲ προχέειν πηγὰς οὐ προσκαίρως ἀλλ' αἰωνίως· οὐ τὰ θεῖα δὲ ἀλλὰ τὰ ἀνθρώπινα σιωέχει-νεν· κάλλος δὲ οὐ τὸ τοῦ σώματος φησὶ ἀλλὰ τὸ τῆς ἀρετῆς τὴν ἁμαρτίαν οὐ δεξάμενον σπίλον:

„Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατὲ τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου καὶ ἔντεινον καὶ κατευόδου καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

Σημειωτέον. ὅτι τὴν ἀλήθειαν καὶ τὴν πραότητα καὶ τὴν δικαιοσύνην καὶ κάλλος αὐτοῦ καὶ πανοπλίαν

καὶ νίκην

καὶ νίκην φησὶ διὼκ τὸν ἀλάστω-
ρος τὴν τυραννίδα καταλύσειν
ἐπειδὲ ἐομφαίας ἐμνήσθης
ἀκολούθως καὶ δεξιὰν φησὶ ἤ-
ἔσι τὰ δεξιὰ βουλεύματα οἷς κε-
χρημένος τὴν τῆς ἁμαρτίας οὐκ
ἐδέξατο προσβολήν:

„ Τὰ βέλησου ἠκονημένα δυνατὲ
„ λαοὶ ὑπὸ κάτωσου πεσοῦνται
„ ἐν καρδία τῶν ἐχθρῶν τοῦ
„ βασιλέως:

Μεθ᾽ ὑπερβατά εἰσὶ τὰ εντα τὰ βέ-
λησου γὰρ ἠκονημένα δυνατὲ
ἐν καρδία τῶν ἐχθρῶν τοῦ
βασιλέως τούτων δὲ τρωθέντων
λαοὶ ὑπὸ κάτωσου πεσοῦνται ὅς:

οἱ ὑπ' ἐκείνῳ τυρανούμενοι τῶν
ὀφειλομένων σοι φέροντα πρὸς
κώπην ταῦτα περὶ τῆς ἐνανθρω-
πήσεως εἰπὼν λέγει καὶ τοῦ ἐναν-
θρωπήσαντος τὴν φύσιν·

,, Ὁ θρόνος σου ὁ θεὲ εἰς τὸν αἰῶνα
,, τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος
,, ἡ ῥάβδος τῆς βασιλείας σου·

Οὕτως ὁ σύμμαχος· ὁ θρόνος σου
ὁ θεὸς αἰώνιος· διὰ τούτων διδάσ-
κει ὅτι οὔτε ἀρχὴν ἔληψεν οὔ-
τε τέλος ἕξει εἶτα λέγει καὶ τὸ
δίκαιον τῆς βασιλ· ῥάβδος
γὰρ φησὶ εὐθύτητος ἡ ῥάβδος
πάλιν ἐπὶ τὰ ἀνθρώπινα κατα-
βαίνει·

,, Ἠγάπησας δικαιοσύνην καὶ ἐμίση

σας

» ἐμίσησας ἀληθεία ἀνομίαν
» διὰ τοῦτο ἔχρισέ σε ὁ θς ὁ
» θς σου ἔλαιον ἀγαλλιάσεως
» παρὰ τοὺς μετόχους σου:

Ὁ σύμμαχος ἀντὶ τοῦ παρὰ τοὺς μετόχους σου παρὰ τοὺς ἑταίρους σου φησί μέτοχοι αὐτοῦ καὶ ἑταῖροι κατὰ τὴν ἀνθρωπότητα οἱ πιστεύσαντες λαμβάνει δὲ ὅπου τὸ χρῖσμα τοῦ πνς τὰ χαρίσματα ὡς γὰρ ὁ θς ὁμοούσιον ἔχει τὸ πνα οὕτω καὶ δικαιοσύνην ὡς ἄνθρωπον ἠγάπα γνωμικῆς γὰρ ταῦτα προαιρέσεως οὐ φυσικῆς δυνάμεως:

» Σμύρναν καὶ στακτὴν καὶ κασίαν

" ἀπὸ τῶν ἱματίων σου ἀπὸ βαρέων
" ἐλεφαντίνων ἐξ ὧν ἔφραναν σε
" θυγατέρες βασιλέων ἐν τῇ τιμῇ-
" σου

Ιμάτιον γὰρ τὸ σῶμα καλεῖ σμύρ-
ναν δὲ τὸ πάθος. καθὸ νεκροῖς
αὕτη πρὸς θεραπείαν ἐστάλη καὶ κα-
σίαν τὸ ἀπὸ τοῦ πάθους ἀποθε-
αν τῆς νενεκρωμένης ἐνεπέπλησαι
βαρεῖς δὲ ἐλεφαντίνων ἡ κατὰ
τὸν σύμμαχον καὶ τὸν ἀκύλα
ναούς. ἐλεφαντίνους τὰς περικα-
λεῖς ἐκκλησίας οἱ ἄρχοντες καὶ
βασιλεῖς πανταχοῦ γῆς ἔδειμαν
το

" Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν
" σου ἐν ἱματισμῷ διαχρύσῳ
" περιβεβλημένη πεποικιλμένη

ἄκουσον

„ ἄκουσον θύγατερ καὶ ἴδε κλῖνον
„ τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λα-
„ οῦ σου καὶ τοῦ οἴκου τοῦ πρς σου

Προφητεύσας περὶ ἐκκλησιῶν ἀ-
νυμφεύτων καὶ παράδοξον ἔχου-
σαν τάξιν λέγει καὶ τὴν νύμφην
τὸν κόσμον καὶ τὸ κάλλος καὶ
παραινεῖ αὐτῇ τὰ συμφέροντα
ἡ δὲ ἐξ ἐθνῶν ἐκκλησία διὸ
καὶ ἐπιλάθεσθαι τοῦ λαοῦ παραι-
νεῖ τῶν πατρώων ἐθνῶν θυγα-
τέρα δὲ αὐτὴν φησὶ τὸ πνα τὸ
ἅγιον ὡς τὴν πίστιν ἀναγεννη-
σιν δεξαμένη ὑπισχνεῖται τοῦ βα-
σιλέως τὸν ἔρωτα φυλάττουσι
ταῖς ὑποθήκαις:

„ Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κά-

)) τοῦ κάλλους σου ὅτι αὐτός ἐστι κύριός σου
)) καὶ προσκυνήσεις αὐτῷ καὶ θυ-
)) γάτηρ Τύρου ἐν δώροις:

Ἀκύλας καὶ Θεοδοτίων καὶ προσ-
κύνησον αὐτῷ σύμμαχος αὐτὸς
γὰρ κύριος καὶ προσκύνησις
αὐτῷ οἱ δὲ ὁ οὕτως ἐστὶ αὐτός ἐστι
κύριός σου καὶ προσκυνήσουσιν αὐτῷ:
θυγατέρες Τύρου ἐν δώροις:
διὼν ἡ δουλεία δηλοῦται πάντων
τῶν ἔτι ἀντιλέγειν τολμούντων:

)) Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ
)) πλούσιοι τοῦ λαοῦ.

Κε΄ μὲν πρόσωπον τῆς ἐκκλησίας ὁ
Χ(ριστό)ς ὡς κεφαλὴ ἔπειτα δὲ καὶ τὸ
ἱερατικὸν τάγμα. οἱ πλούτῳ τοι-
γαροῦν κομῶντες τὸ τῆς ἐκκλησίας
γεραίρουσι πρόσωπον ἐπὶ σεβάσμιο

ἐπιμελησμῷ

ἱματισμῷ διαχρύσῳ περιβεβλῆ-
σθαι τὴν βασιλίδα· ἐντελεία δὲ
περιβολαίων κοσμεῖ τοὺς ἁγίους·
διὰ τοῦτο φησὶ πᾶσα ἡ δόξα τῆς
θυγατρός:

›› Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βα-
›› σιλέως ἔσωθεν ἐν κροσσωτοῖς
›› χρυσοῖς περιβεβλημένη πεποι-
›› κιλμένη:

Ἔνδοθεν ἔχει φησὶ τῆς ἀρετῆς τὴν
εὐπρέπειαν· ἐπειδὴ ἐκ διαφόρων
χαρισμάτων ἡ ἐκκλησία συνέ-
στηκεν, εἰκότως κροσσωτοῖς ἀπεικά-
σαι· συνήρμοσται γὰρ ἀπ' ἀλλήλων
οἱ κροσσωτοὶ καὶ πάλιν ἑνῶνται ὡς
τῆς αὐτῆς ἐξηρτημένοι στολῆς:

›› Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι:

” ὀπίσω αὐτῆς αἱ πλησίον αὐτῆς ἀ-
” πενεχθήσονται ἐν εὐφροσύνῃ καὶ
” ἀγαλλιάσει ἀχθήσονται εἰς ναὸν βασι-
” λέως.

Ἐπειδὴ οὐχ ἅπαντα τὴν ἄκραν ἔχου-
σι τελειότητα τοὺς μὲν καλεῖν
νύμφην ὡς τελείους ἐν ἀρετῇ
τοὺς δὲ παρθένους ὡς ἀκέραιον
τὴν πίστιν φυλάξαντας λέγει δὲ ὁμοῦ
καὶ ταύτας πρὸς τὸν βασιλικὸν
νεὼν ἀκολουθεῖ τὴν βασιλείαν.

” Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν
” οἱ υἱοί σου καταστήσεις αὐτοὺς ἄρ-
” χοντας ἐπὶ πᾶσαν τὴν γῆν.

Οἱ θεῖοι ἀπόστολοι πατέρας ἐσχήκασι
τοὺς πατριάρχας ὑπὸ Χριστοῦ κατέστησαν
ἄρχοντες πάσης τῆς γῆς καὶ οἱ

θεῖοι

θεῖος μάρτυρες μετ' ἐπαίνους οὓς πάν
των εἰσὶ ὑπήκοοι· οἱ μὲν τῷ θεῷ οἱ δὲ
φόβῳ:

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν
πάσῃ γενεᾷ καὶ γενεᾷ· διὰ τοῦτο
λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν
αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος:

Οἱ τρεῖς οὗτοι ἐξέδωκαν ἀναμνή=
σω τὸ ὄνομά σου καθ' ἑκάστην γενε-
ὰν καὶ γενεάν· διὰ τοῦτο λαοὶ ὑμ=
νήσουσί σε εἰς αἰῶνα διηνεκῶς
τῇ γὰρ ὑπ' ἐμοῦ συγγραφείσῃ χρώ=
μενοι μελῳδίᾳ πάντες οἱ κατὰ
τὴν οἰκουμένην λαοὶ τὸ διὰ τού=
της τὴν παρασχεθεῖσαν αὐτοῖς
σωτηρίαν ἄνωθεν προσφωνήσουσιν

μανθάνοντας δὲ τὸν χρησμὸν τῶν ἀ-
γαθῶν ὑμνοῦντες διατελέσουσι:
" Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν κορὲ
" ὑπὲρ τῶν κρυφίων ψαλμός:
Τὰ μετὰ πολλὴν χρόνου περίοδον
ἐσόμενα προαγορεύων ὁ προφη-
τικὸς λόγος πάλιν δὲ τὸ τέλος
ὑπεγέγραψε τὸν ψαλμόν. ἀναμεῖ-
ναι τὴν προθεσμίαν τὸ τέλος πα-
ρεγγυῶν προλέγει γὰρ κατὰ τὴν
ἐκκλησίαν ἐπανάστασιν καὶ τὴν
μετὰ ταῦτα παραχεθεῖσαν θεό-
θεν βοήθειαν καὶ τὴν μὲν πολι-
τευομένων εἰρήνην:
" Ὁ θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις
" βοηθὸς ἐν θλίψεσι ταῖς εὑρού-
" σαις ἡμᾶς σφόδρα

προσθεσπίσαι

Προθεσπίσας ὁ προτεταγμένος ψαλμὸς περὶ τῆς ἐξ ἐθνῶν συλλέξεως ἐκκλησίας καὶ δείξας τοὺς υἱοὺς αὐτῆς ἄρχοντας πάσης τῆς γῆς ἐνταῦθα διαγράφει τοὺς ἐν ἀρχῇ τοῦ κηρύγματος θορύβους τῶν ἀντιλεγόντων ἐπανισταμένων χρεὸς τῆς εἰς θεὸν ἐλπίδος τῶν προσβαλόντων καταφρονήσει κυμάτων περίβολον ὁ χορὸν ἔχων τὸν τῶν ὅλων θεὸν ἐν ταύταις ταῖς θλίψεσιν:

„ Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν
„ τῷ ταράσσεσθαι τὴν γῆν καὶ μετα-
„ τίθεσθαι ὄρη ἐν καρδίαις θαλα-
„ σσῶν

Οὐ δεξόμεθα φησὶ δέους ἐν τῇ ψυχῇ ζάλην τὴν μὲν ὁρῶντες ταραττομένους καὶ τοὺς ἐξελαυνομένους εἰς τὴν ἄβυσσον δαίμονας καὶ ποῦ πετρουμένους τοὺς ὑπ' αὐτῶν ἐνεργουμένους ἀνθρώπους ὄρη γὰρ τὰ τῶν εἰδώλων τεμένη προλέγει δὲ ὅτι φροῦδος ἔσται ἡ πάλαι κρατήσασα τῶν δαιμόνων ἀσέβεια ὥσπερ ἐν βυθῷ τινὶ παραπεμφθεῖσα:

„ Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα
„ αὐτῶν ἐταράχθησαν τὰ ὄρη
„ ἐν κραταιότητι αὐτῶν

Ὕδατα μὲν τὰς τῶν ἀπίστων γνώμας τὰς δίκην ὑδάτων τῇδε κἀκεῖσε φερομένας ὄρη δὲ τὸ τῶν δαιμόνων

δαιμόνων εἶδος διὰ τὸ τῆς ἀλαζο=
νείας ὄγκον καὶ τοῦ τύφου τὸ ὑψηλὸν
λέγει δὲ ὅτι καὶ τὰ δεπ κλόνον
διαπορθμευομένου τοῦ ἀγγελικοῦ=
πνεύματος:

» Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐ=
» φραίνουσι τὴν πόλιν τοῦ θεοῦ ἡγία=
» σε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος:

Ποταμὸν φησὶ τὸ ἀγγελικὸ πνεῦμα
πόλιν δὲ τῶν εὐσεβῶν τὸ πολί=
τευμα σαφέστερον δὲ τοῦτο οἱ
τερις εἰρήκασιν τοῦ ποταμοῦ δι=
αιρέσεις μυρίας γὰρ ἔσχε διωρυ=
γὰς εἰς πάντα τὰ φῦλα τῶν
ἀνθρώπων διαδραμοῦσα ὁ μὲν
γὰρ ἰνδίαν ὁ δὲ αἴγυπτον ὁ δὲ
ἐλάλει ἄλλος ἄλλω κατέλαβε

διδαίκων τὴν δὲ πόλιν ὠνόμασε τοῦ
τὴν σκήνωμα φησὶ ἐνοικήσω γὰρ
φησὶ ἐν αὐτοῖς τοὺς αὐτοὺς τοίνυν
ἔφη ἀσφάλεσθαι καὶ φράξεσθαι ὑπὸ
τοῦ τῶν ὅλων θεοῦ:
›› Ὁ θεὸς ἐν μέσῳ αὐτῆς οὐ σαλευθή=
›› σεται βοηθήσει αὐτῇ ὁ θεὸς τὸ πρὸς
›› πρωὶ πρωί:

Οὕτω καὶ ὁ κύριος φησὶ ὅπου εἰσὶ δύο
ἢ τρεῖς συνηγμένοι ἐν τῷ ἐμῷ
ὀνόματι ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν
τὸ δὲ βοηθήσει ἀντὶ τοῦ ταχεῖαν
φησὶ καὶ ὀξεῖαν τῇ ἑαυτοῦ πόλιν
παρέξει βοήθειαν ὁ κύριος πρωὶ γὰρ
καὶ ταχὺ καὶ ὀξὺ προσηγόρευσε:
›› Ἐταράχθησαν ἔθνη ἔκλιναν βα=
›› σιλεῖαι ἔδωκε φωνὴν αὐτοῦ ὁ

ὕψιστος

ὁ ὕψιστος ἐσαλεύθη ἡ γῆ.

Τῆς θείας φησὶ βοηθείας ἐπιφανείσης
ἔδωκαν οἱ πολέμιοι νῶτα καὶ ἀπα-
λαισαν ἀντὶ ἀφρονούσης βασιλείας
ὑπέκλιναν τὸν αὐχένα καὶ τὸ σωτή-
ριον ζυγὸν ἐδέξατο· τῇ γὰρ ἀληθείᾳ
καὶ τῇ τῶν πραγμάτων μαρτυρίαν
καὶ ταῖς παντοδαπαῖς θαυματουρ-
γίαις ἀνθρωπίνῃ φωνῇ χρησάμενος
ὁ τῶν ὅλων θεὸς τὸ οἰκεῖον ὕψος
τοῖς ἀνοις· ὑπέδειξε καὶ δέους αὐ-
τῶν ἐνέπλησε· τὰς ψυχάς.

Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν ἀντι-
λήπτωρ ἡμῶν ὁ θεὸς ἰακώβ.

Κρείττους τῶν πολεμίων ἀπεφάνθημεν
φησὶ ἐπικουρίαν ἔχοντες τῶν ἐσοῦ

ἐπουρανίων δυνάμεων κύριον οὐχ
ἁπλῶς δὲ τοῦ Ἰακὼβ ἐμνημόνευ=
σεν ἀλλ' ἐπειδὴ αὐτοῖς πρῶτος τῶν
τῶν ἐθνῶν προσεθέσπισε κλῆσιν
εἰπὼν οὐκ ἐκλείψει ἄρχων ἐξ
Ἰούδα·

" Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ
" ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς ἀντα=
" ναιρῶν πολέμους μέχρι τῶν πε=
" ράτων τῆς γῆς τόξον συντρίψει καὶ
" συνθλάσει ὅπλον καὶ θυρεοὺς
" κατακαύσει ἐν πυρὶ σχολάσατε
" καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεὸς ὑψω=
" θήσομαι ἐν τοῖς ἔθνεσι ὑψωθή=
" σομαι ἐν τῇ γῇ κύριος τῶν δυνάμεων
" μεθ' ἡμῶν ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς
" Ἰακώβ·

" Ἰακὼβ

Ταῦτα ἐκ προσώπου τοῦ θεοῦ πρὸς τοὺς
ἀνθρώπους ὁ ἐρῶν τῆς μου φησὶ τὴν
ἰσχὺν διὰ τῶν πραγμάτων μάθε=
τε ὅτι μόνος ἐγώ εἰμι θεὸς τὸ δὲ
ἀνταναιρῶν πολέμους ὅτι ἡ ῥωμαί=
ων βασιλεία ἐπὶ τοῦ σρς χυ τὰς
μερικὰς καταλύσασα βασιλείας.
ταῖ ἀπάντων ἀκοὰς αὐτῶν ἐνθε=
πισε τοῖς κήρυξιν ἀδεῶς γὰρ ὡς
ἐν μιᾷ βασιλείᾳ διέδραμον καὶ
τὴν σωτήριον διδασκαλίαν πᾶσι
προσήνεγκαν οὕτω μὲν κατὰ τὴν
ἱστορίαν νοητέον τροπικώτερον
δὲ νοοῦμεν. τοῦ κατὰ τῆς ἐκκλη=
σίας πολέμου τὴν παῦλαν καὶ τὴν
θεόθεν παρασχεθεῖσαν εἰρήνην

ἐπεὶ καὶ ὁ τῶν ἄλλων χορὸς παιονίζων
κατὰ τῶν ἀντιπάλων βοᾷ καὶ τῶν
δυνάμεων.

εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν κορὲ
ψαλμὸς, μϛ.

Καὶ οὗτος ὁ ψαλμὸς τῶν ἐθνῶν
ἁπάντων προλέγει τὴν σωτηρίαν.
καὶ τὴν κατὰ τῶν πολεμίων νίκην.

” Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας
” ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγα-
” λιάσεως ὅτι κύριος ὕψιστος φοβερὸς
” βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν
” γῆν

Ὁ μὲν προφητικὸς ταῦτα προηγόρευ-
σεν λόγος τὸν δὲ ἀποστολικὸν ὑπο-
δέχουσι χορὸν ἅπαντα τὰ ἔθνη
εἰς ὑμνῳδίαν προτρέποντα νικη-

δὲ

δὲ ἴδιος ὁ κρότος καὶ ὁ ἀλαλαγμὸς
νικώντων φωνή· ἐπειδὴ τοίνυν τῷ
προστεταγμένον τοῦ δὲ ψαλμοῦ
ἡ διάνοια· καὶ γὰρ ἐκεῖνος μετὰ τὴν
ζάλην καὶ τοὺς θορύβους τὴν γε=
νομένην προφητικὴν καὶ οὗτος ὡ=
σαύτως τῷ χορηγῷ τῆς νίκης πα=
ρεγγυᾷ τὸν ὕμνον προσενεγκεῖν
ὕψιστος γὰρ καὶ φοβερὸς βασιλεὺς
πᾶσιν ἡμῖν ἀπεδείχθη. ταῦτα
δὲ ἰουδαίοις γνώριμα μόνοις ἦν
πάλαι· νῦν δὲ γνωστὰ πάσῃ τῇ φύσει:
» ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνοι
» ὑπὸ τοὺς πόδας ἡμῶν. ἐξελέξατο
» ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ τὴν
» καλλονὴν ἰακὼβ ἣν ἠγάπησεν:
Ἀντὶ τοῦ λαοὺς βασιλεῖς εἴρηκεν ὁ

σύμμαχος. ἀντὶ δὲ τῆς καλοῦντες ἰακὼβ τὸν ὑπερεπήφανον ἰακὼβ ὁ ἀκύλας ὁ ἀποστολικὸς χορὸς φησὶ ὁ ἠγάπησεν διὰ τοῦτο ὑμεῖς τὸν θεὸν βασιλεύς ἡμῶν ὑποτάξαντι καὶ ἔθνος. καὶ τὸ ὑπερφερὲς ἰακὼβ οὐ γὰρ πάντα τὸν ἰουδαϊκὸν λαὸν φησί. ἀλλὰ τοὺς ἀναμφίβολον τὸ κήρυγμα δεξαμένους:

" Ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ κς ἐν

" φωνῇ σάλπιγγος. ψάλλατε τῷ θῷ

" ἡμῶν ψάλατε:

Ὁ δὲ ταῦτα κατορθώσας δεσπότης εἰς οὐρανοὺς ἀνελήλυθεν. τῇ οὖν τοῦ ἐνανθρωπίσαι ἀλαλαγμὸν δὲ καὶ σαλπίγγων φωνὴ ταῖ τῶν ἀγγέλων

φησί

φησὶ φωνὰς τῶν μὲν ἀσάλπιγχαι
λεγόντων τῶν δὲ οὕτως ὅτι ὁ ἀνα-
ληφθεὶς ὡς τις ἅπασαν διαφρα-
μοῦσα τὴν γῆν:
Ψάλλατε τῷ βασιλεῖ ἡμῶν ψάλλα-
τε ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ
θεός ψάλλατε συνετῶς ἐβασίλευ-
σεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη. ὁ θεὸς κά-
θηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ:

Ὑμνῳδίαις τοίνυν τὸν παμβασιλέα
θεὸν γεραίρεσθαι· ὅτι πέπαυκε τὰ
ἔθνη διὰ τῆς οἰκείας δυνάμεως
αὐτοῖς ἐπὶ θ̄ς ῡς. τοῖς πατρῴοις
ἐγκαθημένους θώκοις. καλῶς δὲ
τὸ ψάλλατε συνετῶς· μὴ μόνην
γὰρ φησὶ γλῶτταν τὴν ὑμνῳδίαν
προσφέρεσθαι ἀλλὰ καὶ τὴν διάνοιαν

συνᾴδε

εἰς κατανόησιν τῶν λεγομένων δι-
=εγήγερται:

Ἄρχοντες λαῶν συνήχθησαν μετὰ
τοῦ θεοῦ ἀβραάμ· ὅτι τοῦ θεοῦ οἱ
κραταιοὶ τῆς γῆς σφόδρα ἐπή-
=ρθησαν:

Πέρας φησὶν αἱ πρὸς τὸν πατριάρχην
ἀβραὰμ ἔλαβον ὑποσχέσεις ἐν
τῷ σπέρματι αὐτοῦ εὐλογηθήσεσθαι
τὰ ἔθνη λέγουσαι. ἰδοὺ γὰρ τοι ταῦ-
τα καὶ οἱ τούτων ἄρχοντες. τοὺς
πατρώους καταλιπόντες θεοὺς με-
τὰ τοῦ θεοῦ ἀβραὰμ συναθροί-
ζονται. καὶ τοῦτον οἰκεῖον θεὸν ὀνο-
μάζουσιν. ὑπουργοὶ δὲ τῆς τού-
των κλήσεως οἱ ἀπόστολοι θαυμα-
τουργίαις τὸ τῆς θεολογίας βεβαιώ-

σαντες

βεβαιώσαντες ὕψος. τούτους μέν· οἱ
γὰρ κραταιούς. ὁ δὲ ἀκύλας θυρε-
ούς. θεοδοτίων δὲ καὶ σύμμαχος
ὑπερασπισμοὺς προσηγόρευσαν.
δηλῶν πάντων καὶ τὸ αὐτῶν ἄμα-
χον καὶ τὸ τῶν ἄλλων δηλοῦται
φυλακτικόν:

Ψαλμὸς ᾠδῆς τῷ δαδ τοῖς υἱοῖς κορὲ, μζ:
δευτέρᾳ σαββάτων:

Καὶ οὗτος ὁ ψαλμὸς τὴν αὐτὴν
ὡσαύτως νίκην προαγορεύει καὶ
τῆς θῦ πολεμικὴν ἰσχύν:

Μέγας κς καὶ αἰνετὸς σφόδρα.
ἐν πόλει τοῦ θῦ ἡμῶν ἐν ὄρει ἁγίῳ
αὐτοῦ:

Πόλιν οὐ τὴν οἰκοδομίαν ἀλλὰ τὴν
πολιτείαν καλεῖ. λέγω γὰρ τοίνυν ἀπό:

ἀποδεδεῖχθαι λέγει τὸν μὲν διὰ τῶν
περὶ τὴν αὐτοῦ πόλιν γεγενημέ=
νων ἔργων ἐπίσημον· ἀπεφῆναι τῶν
δογμάτων τὸ ὕψος ὡς ἐπ' ὄρους
ὑψηλοῦ κειμένην:

” εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς:

Ταύτην δέ φησιν ἐπ' εὐφροσύνῃ πά=
σης τῆς γῆς εὐκαίρως καὶ παγί=
ως ἐδείματο· ᾠκοδόμηται γὰρ αὐ=
τή, ὥς φησιν ὁ θεῖος ἀπόστολος·
ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων.
καὶ προφητῶν. τὸ δὲ εὐρίζων
ἀντὶ τοῦ πάγιον θεμέλιον ὥστε=
αὐτὴν ἀτρεμῆ καὶ ἀσάλευτον δια=
μεῖναι:

” ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βορρᾶ· ἡ
” πόλις τοῦ βασιλέως τοῦ μεγάλου:

σαν δὲ

„ τοῦ μεγάλου:

Τμέντοι καὶ ὄρεσιν αὐτῶν περιέβα=
λεν. ὡς τὰ τοῦ βορρᾶ τῇ βλάβῃ
διαφύγειν· ἀπὸ βορρᾶ γὰρ φησί·
ἐκκαυθήσεται κακὰ ἐπὶ πᾶσαν „
τὴν γῆν καὶ τὸ σιών. ἢ· ἐπὶ τῆς πί: „
κῆς ὁ ἀπόστολος ἐδέξατο πόλεως. „
σέσει γὰρ φησὶ τὰ τοῦ βορρᾶ στε= „
λοῦντα, ἀποστόλους καὶ προφήτας: „
καὶ τοὺς ἐφεστῶτας πιστοὺς ἀγγέλους:
„ Ὁ θς̄ ἐν τοῖς βάρεσιν αὐτῆς γι=
„ νώσκεται ὅταν ἀντιλαμβάνηται:
„ αὐτῆς.

Μία μὲν ἐστὶ καθολικὴ ἐκκλησία.
διήρηνται δὲ πάλιν κατὰ πόλιν
καὶ κώμας αἱ βάρεις ὁ προφητικὸς
καλεῖ λόγος ἐν ταύταις φησὶ τὸν

τὸν θν̄ ἐπιφαίνεσθαι τὴν ὀξεῖαν
ἐπικουρίαν ὀρέγοντα· εἶτα τὰς ἐσο-
μένας ἐπαναστάσεις προλέγει. καὶ
τὴν τῶν πολεμίων μεταβολήν:
» Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχ-
» θησαν· διήλθοσαν ἐπὶ τὸ αὐτό.
» αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν.
» ἐταράχθησαν. ἐσαλεύθησαν.
» τρόμος ἐπελάβετο αὐτούς:
Συνέδραμον μὲν γὰρ ὡς πολεμή-
σοντες· θεασάμενοι δὲ τοὺς πο-
λεμουμένους τὸ ἄμαχον κατε-
πλάγησαν. ἐταράχθησαν γάρ
φησι τρόμος ἐπελάβετο. ἀντὶ τοῦ
δέος καὶ φρίκην ἐδέξαντο:
» Ἐκεῖ ὠδῖνας ὡς τικτούσης ἐν πνεύματι
» βιαίῳ· συντρίψεις πλοῖα θαρσεῖς:

καθάπερ

,, καθάπερ ἠκούσαμεν οὕτως καὶ εἴ-
,, δομεν ἐν πόλει κυρίου τῶν δυνά-
,, μεων ἐν πόλει τοῦ θεοῦ ἡμῶν:
Καταμαθοῦντες τὸ τῆς προρρήσεως
ἀψευδὲς φησὶ ἐθορυβήθησαν
καθάπερ οἱ τὰ τῆς θαλάττης: διαπερ-
ουμενοι νῶτα. καὶ καθάπερ οἱ βαλλόμενοι
καὶ πανωλέθρια προσμένοντα· οὐ
δὴ χάριν. τοῦ πολέμου παυσάμε-
μενοι· αὐτοὶ κηρύττουσιν τῆς πολε-
μουμένοις τὴν δύναμιν καὶ βοῶ-
σι καθάπερ ἠκούσαμεν:~
,, Ὁ θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν
,, αἰῶνα ὑπελάβομεν ὁ θεὸς τὸ ἔλεός-
,, σου ἐν μέσῳ τοῦ λαοῦ σου:
Οὕτω δείξας τὴν τῶν πολεμίων με-
ταβολήν· προλέγει λοιπὸν ὅ ποιεῖ

χρήσονται λόγοις οἱ τῆς θείας τετυ=
χηκότες τὸν εὐεργέτην ὑμνολογεῖν.
ὑπελάβομεν· προσδεχόμεθά σου
θεὸς· ταύτην τὴν ἐπικουρίαν· τῶν
σῶν ἐπαγγελιῶν εἰδότες τὸ ἀψευ-
δές· οὐ γὰρ εἶπας ψευδόμενος ἀμι-
πάσας·

Κατὰ τὸ ὄνομά σου ὁ θεός· οὕτω καὶ ἡ
αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς:

Οἱ ψευδώνυμοι θεοί· οὐκ ἔχουσι
συμβαίνουσαν τῇ προσηγορίᾳ
τὴν δύναμιν· οὐ γάρ εἰσιν ὃ κα-
λοῦνται. τῷ δὲ σῷ ὀνόματι· ἕπε-
ται τὰ ἔργα κηρύττοντα τὴν τῆς
προσηγορίας ἀλήθειαν:

„ Δικαιοσύνης πλήρης ἡ δεξιά σου.
Δίκαια γὰρ θεὸς ψῆφον τοὺς πο-
λεμίους ἐσπείδασας:

ἐσκαίδασας:

Εὐφρανθήτω ὄρος σιὼν καὶ ἀγαλλιάσ=
θωσαν αἱ θυγατέρες τῆς ἰουδαίας
ἕνεκεν τῶν κριμάτων σου κ͞ε:

Τὸ δὲ ὄρος σιὼν τοὺς ὑψηλοὺς τῆς
θεολογίας φησὶ θυγατέρας δὲ ἰουδαί=
ας· τὰς κατὰ τὴν οἰκουμένην ἐκ=
κλησίας. ὡς ὑπὸ ἀποστόλους παγή=
σας. λέγει δὲ τοὺς λέγοντας καὶ τοὺς
ἀκούοντας. γίνεσθαι διὰ τὴν ὑπὸ
θ͞υ γενομένην σωτηρίαν:

Κυκλώσατε σιὼν καὶ περιλάβετε
αὐτήν. διηγήσασθε ἐν τοῖς πύρ=
γοις αὐτοῖς. θέσθε τὰς καρδίας
ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς. καὶ
καταδιελέσθε τὰς βάρεις αὐτῆς:

Σιὼν φησὶ τὸ εὐσεβὲς πολίτευμα
πύργους τοὺς κατ᾽ ἀρετὴν ἄκρους βάρεις

πύργων

τὰς κατὰ πόλιν ἐκκλησίας. παρέχειν
αὐτοῖς μὲν ἡ τοῦ πν(εύματο)ς χάρις τοῖς
κηρύττουσι πεινοσθην καὶ τοὺς
πύργους τῇ διδασκαλίᾳ ἐπείξειν·
καὶ τὴν τῶν ἐκκλησιῶν ἐπιμε-
λειαν διανέμεσθαι
,, Ὅπως ἂν διηγήσασθαι εἰς γενεὰν ἑ-
,, τέραν ὅτι οὗτός ἐστιν ὁ θ(εὸ)ς ἡμῶν
,, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα
,, τοῦ αἰῶνος αὐτὸς ποιμανεῖ ἡμᾶς
,, εἰς τοὺς αἰῶνας:
Χρὴ γὰρ γενεὰν, ἑκάστην τῇ μετ' αὐτὴν
παραδιδόναι παρὰ τῆς προτέρας
παρείληφεν, ὥστε ἐν ἁπάσαις γενεαῖς
διαπορθμευθῆναι τὸ θεῖον κήρυγ-
μα καὶ γνῶναι πάντας ἀν(θρώπ)ους ὅτι
οὗτος ἡμῶν καὶ θ(εὸ)ς καὶ κ(ύριο)ς καὶ
ποιμὴν

ποιμὴν ἀγαθὸς καὶ ἄμωμος:

,, Εἰς τὸ τέλος τοῖς υἱοῖς κορὲ ψαλμός :– μζ.

Ὁ θεῖος τῶν ἀποστόλων χορὸς καὶ
ἤδη τοῖς ἔθνεσιν παρήνησεν
τὸν ἐπινίκιον ὕμνον προσενεγ=
κεῖν τῷ θῷ· καὶ νῦν ὁ παῦλος
τοῖς αὐτοῖς προσφέρει παραινέσεις
προσθεῖναι τῇ πίστει καὶ τὴν ἀρετὴν
διδάσκει τοῦ πλούτου τὸ μάταιον
καὶ τῆς τοῦ κόσμου σοφίας τὸ ἀ=
κερδὲς προλέγει δὲ καὶ τῶν ἐσο=
μένων τὴν κρίσιν θεοῦ καὶ εἰς τὸ
τέλος ἐπιγέγραπται ὡς παντὸς τοῦ
βίου τὸ τέλος προαγορεῦον:

,, Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη
,, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες:

τὴν

„ τὴν οἰκουμένην· οἵ τε γηγενεῖς καὶ
„ υἱοὶ τῶν ἀνθρώπων ἐπὶ τὸ αὐτὸ πλού-
„ σιος καὶ πένης:

Ἐν πάσῃ τῇ οἰκουμένῃ τὴν διδασκαλίαν προσφέρον ἀποστολικῆς ἐστὶ χάριτος ἴδιον. οἱ γὰρ προφῆται μόνοις ἰουδαίοις ἐκήρυττον. τὸ δὲ οἵ τε γηγενοῖς. ἀντὶ τοῦ πάντες ἅμα οἱ τῶν λεγομένων ἀκούσατε ὅσοι καὶ χαμερπικοί. ἡμερώτεροί τε καὶ φρονιμώτεροι. καὶ κοινῇ καὶ ἰδίᾳ ὁ σύμμαχος γάρ. ἀντὶ τοῦ γηγενεῖς καὶ υἱοὶ ἀνθρώπων. ἡ αὐτὸς εἶπεν. καὶ προσέτι υἱὸς ἑκάστου ἀνδρός. κατὰ ταὐτὸ δὲ καὶ οἱ πλούτῳ κομῶντες καὶ οἱ πενίᾳ συζῶντες

δέξασθε

›› δέξασθαι τὴν παραίνεσιν:
›› Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ:
›› μελέτη τῆς καρδίας μου σύνεσιν.
›› κλινῶ εἰς παραβολὴν τὸ οὖς μου.
›› ἀνοίξω ἐν ψαλτηρίω τὸ πρόβλη=
›› ματά μου
Τὸ στόμα μου σοφίας φησὶ μετὰ ταῦτα
τὰ ῥήματα ἃ μεμαθήκαμεν. τοῖς:
κεκρυμμένοις λόγοις τοῦ χῦ ὑποθεὶς
τὴν διάνοιαν. ἃ γὰρ διὰ ἀκοῆς ἐδέξα=
μην. ταῦτα ὡς δι' ὀργάνου προσφέρω
τῆς γλώττης. παραβολὰς δὲ καλεῖ:
τοὺς αἰνιγματώδεις λόγους:
›› Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ
›› ἀνομία μου τῆς πτέρνης μου κυκλώ=
›› σει με
Ἔμπροσθεν ἄρχεται τῆς παραινέσεως
πονηρὰν δὲ ἡμέραν τῆς κρίσεως:

φησὶ καλῶς καὶ ἐν τῇ σιωπηθείσῃ· τὴν λυ-
πας τινὰς ἔχουσαν κακὴν ἡμέραν
φαμὲν ἀνομίας δὲ πτέρνης. τὴν
ἐξ ἀπάτης ἀποστροφὴν τῆς εὐθείας
ὁδοῦ:
Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν
καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐ-
τῶν καυχώμενοι:
Ἐγὼ μὲν φησὶ δέδια καὶ τρέμω τὴν
προσδοκωμένην ἡμέραν· ὑμεῖς δὲ
οἱ πλούτῳ κομῶντες οὐδὲ μίαν
ἐκείνης ποιεῖσθαι φροντίδα· ἀλλὰ τῇ
ὑπερηφανίᾳ τῆς περιουσίας μεγα-
λαυχούμενοι· ὡς μονίμοις θαρ-
ρεῖτε τοῖς ῥέουσιν:–
Ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος
οὐ δώσει τῷ θεῷ ἐξίλασμα ἑαυτοῦ·

καὶ

καὶ τῷ τιμίῳ τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ· καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα καὶ ζήσεται εἰς τέλος. οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας:

Ἔτι δὲ [illegible]· ὡς οὐδὲ συγγενῶν ἀρετὴ τοὺς τούτων γεγυμνωμένους ὀνίνησιν· οὐδὲ μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν δυνατὸν διὰ χρημάτων τὴν σωτηρίαν πορίσασθαι. εἶτα πρὸς τοὺς τῆς ἀρετῆς ἐργάτας μεταφέρει τὸν λόγον. καὶ φησὶ καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα. ὁ γὰρ τοὺς ὑπὲρ τῆς ἀρετῆς ὑπομείνας ἱδρῶτας. τὴν ἀνώλεθρον ἕξει ζωὴν τῶν πόνων καρπόν. καὶ τοῖς τοῦ κόσμου

σοφοῖς. οὐ κοινωνήσει τῆς αἰωνίου τιμω=
ρίας:
» Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπο=
» λοῦνται:

Οὗτος ὁ σύμμαχος. ὁμοῦ ἀνόητος καὶ ἀμαθὴς ἀπολοῦνται. ἄφρονα δὲ ὧ καὶ ἀνόητον λέγει. τὸν καλού=μενον σοφὸν ὡς σιωπῆναι τὸ θεὸν οὐκ ἐνθελήσαντα ἄνουν δὲ καὶ ἀμα=θῆ. τὸν τῆς μὲν σοφίας ἀμύητον κακία δὲ ὅμως συζήσαντα:

» Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦ=
» τον αὐτῶν καὶ οἱ τάφοι αὐτῶν οἰκί=
» αι αὐτῶν εἰς τὸν αἰῶνα σκηνώματα
» αὐτῶν εἰς γενεὰν καὶ γενεάν:

Οὐ μόνης δὲ τῆς σοφίας. ἀλλὰ καὶ τῆς δυναστείας καὶ τῆς περιουσίας γυμνω

θέντες

γυμνωθέντες ἁπάσης δέξονται τοῦ βίου τὸ τέλος· ἀπὸ τῶν περιφανῶν οἴκων· τοῖς τάφοις παραπεμπόμενοι· καὶ ταύτας οἰκεῖν δι' αἰῶνος ἀναγκαζόμενοι:

Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν:

Καὶ μὴν φησὶ ἀπὸ τῶν ὀνομάτων αὐτῶν τὰ κτήματα αὐτῶν προσηγόρευται ἀλλὰ σὺν τῇ ἀπωλείᾳ· καὶ ἡ τῶν ὀνομάτων ἀμβλύνεται προσηγορία· διὰ τούτων δὲ μὴ θαρρεῖν τοῖς παροῦσι παρεγγυᾷ ἀλλὰ περὶ τῶν μελλόντων φροντίζειν:

Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς· αὕτη ἡ

» ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς.

Ταύτης αἴτιον τῆς ἀνοίας τὸ μὴ θελῆ-
σαι ἡμᾶς σκοπεῖν τὴν παρὰ τοῦ θεοῦ
δοθεῖσαν ἡμῖν ἀξίαν ἀλλὰ τὸν κτη-
νώδη βίον ἀσπάσασθαι. τὸ δὲ αὕτη
ἡ ὁδὸς αὐτῶν ἀντὶ τοῦ εἰς ἀλογίαν
ἐξέπεσον πλεονάκις τὸν ἐξ ἀρχῆς
τρόπον ἐσχηκότες καὶ ἐπὶ τὰς πονη-
ρὰς ἐκκλίναντες πράξεις. ὁδοὺς γὰρ
τὰς πράξεις ὠνόμασεν.

» Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν
» εὐδοκήσουσιν ὡς πρόβατα ἐν ᾅδῃ
» ἔθεντο θάνατος ποιμανεῖ αὐτούς.

Μεταμέλειαν δὲ κτήσονται μετὰ τὴν
ἐντεῦθεν ἀποδημίαν. οὐδὲν ἐκ
ταύτης λοιπὸν πορισόμενοι κέρδος.

τό

τὸ δὲ ὡς πρόβατα οὕτως ὁ σύμμαχος·
ὡς πρόβατα ᾅδου. ἔταξεν αὐτούς.
θάνατος νεμήσει αὐτούς· αὐτοὶ γὰρ
ἑαυτοῖς ταῖς κολάσεις προεξένησαν
καὶ τὸν θάνατον προοίχοντο τῆς ζωῆς:
» Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐ=
» θεῖς τὸ πρωῒ καὶ ἡ βοήθεια αὐτῶν
» παλαιωθήσεται ἐν τῷ ᾅδῃ ἐκ τῆς δό=
» ξης αὐτῶν ἐξώσθησαν. πλὴν ὁ θεὸς
» λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς
» ᾅδου ὅταν λαμβάνῃ με:
Οἱ δὲ νῦν ὑπ᾽ αὐτῶν καταφρονούμενοι
καὶ ἀδικούμενοι, τὴν κατ᾽ αὐτῶν
οὐκ εἰς μακρὰν σχήσουσιν ἐξουσίαν
πάσης γὰρ τῆς προτέρας εὐημερί-
ας γυμνούμενοι τῷ θανάτῳ παραδο-

θήσονται

συνᾴδει τούτοις καὶ ἡ κατὰ τὸν λάζα-
ρον καὶ πλούσιον παραβολή. οὕτω
τὸ ἐκείνου τέλος διεξελθὼν ἐκέλευε
μὴ τὴν αὐτὴν ἐκείνοις τελευτὴν ὑπο-
μεῖναι λέγων. πλὴν ὅδε λυτρώσε-
σθαι μετὰ ταῦτα τοῖς πενίᾳ συμβιω-
τευούσαις καὶ διὰ τὴν τῶν πλουσί-
ων τευχομένοις ἀλαζονείαν. ὑφή-
γησιν εἰς φρένα καὶ συμβουλὴν μὴ
φοβοῦ ὅταν πλουτήσῃ:

„ Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος ἢ ὅταν
„ πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ.
„ ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λή-
„ ψεται τὰ πάντα, οὐδὲ συγκαταβήσε-
„ ται αὐτῷ ἡ δόξα αὐτοῦ.

Μὴ μέγα νόμιζε τὸν πλοῦτον φησὶ ὁ

γάρ

γὰρ ἐπὶ τούτοις ὀφρῦς ἀνασπῶντες
καὶ τὰς γνάθους φυσῶντες. πάντα
καταλείψουσιν ἀποθνήσκοντες:

» Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ
» εὐλογηθήσεται. ἐξομολογηθήσεται
» σοι ὅταν ἀγαθύνῃς αὐτῷ.

ζῶντα φησί τινες τὸν πλοῦτον κομῶντα
μακαρίζουσιν. ἀποθανόντα δὲ τρι=
σάθλιον. τὸ δὲ ἐξομολογήσεταί σοι
οὕτως ὁ σύμμαχος. ἐπαινέσουσί σε
ἐὰν καλῶς ποιήσῃς αὐτῷ. ἄξιος ὁ
σύμμαχος δὲ καὶ μετὰ τελευτὴν
ἐπαίνου, ὅτι οἰκείαν ὠφέλειαν τὸν
πλοῦτον οἰκονομῆσαι· ἡ γὰρ οἱ χρὺς
εὐεργεσία ἐπ' αὐτὸν ἀνατρέχει τὸν
εὐεργέτην.

» Εἰσελεύσεται ἕως γενεᾶς πατέρων:

,, αὐτοῦ ἕως αἰῶνος οὐκ ὄψεται φῶς:
Θε τελ. εἰσελεύσῃ· ἠρμένοι ὁ ψαλμῳδη=
σι τοῦτον σὺ πρὸς ὅν. εἶπον μὴ φο=
βοῦ ὅταν πλουτήσῃ ἄνος τὸν αὐτοῦ
τοῖς πατράσιν ὑπομένοντα θάνατον
καὶ οὐ μόνον τοῦ παρόντος φωτός:
ἀλλὰ καὶ τοῦ αἰωνίου στερούμενον:
,, Καὶ ἄνος ἐν τιμῇ ὢν οὐ συνῆκε. πα=
,, ρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνο=
,, ήτοις καὶ ὡμοιώθη αὐτοῖς:
Αἰτία δὲ τούτων ἡ κτηνώδης ζωή. ἐπεὶ
τῶν ἀνων οἱ πλείους. προσέχοντο.
τῷ παρὰ τοῦ θῦ δεδομένην ἀπο=
βεβληκότες τιμὴν λογικοὶ γὰρ γενό=
μενοι. τὴν ἀλογίαν ἠγάπησαν:
Ψαλμὸς τῷ ἀσάφ:—
Ἄλλου χοροῦ ψαλτῳδῶν. χορο διδάσ
καλος

διδάσκαλος αὐτὸς ὁ ἀσάφ· ὡς ἡ τῶν
παραλειπομένων ἐδίδαξεν ἱστορία.
τὰ μὲν γὰρ ἀπὸ τοῦ τεσσαρακοστοῦ=
πρώτου οἱ κορὲ υἱοὶ κορυφαῖοι καὶ
αὐτοὶ ἐνεχειρίσθησαν χοροῦ ἐξαρχού=
μενοι· ᾄδειν ἐνεχείρησαν· ὅθεν ὁ παρὼν
ψαλμὸς τῷ ἀσὰφ ἀνακείμενος σύμ=
φωνος ἔσται τῷ προτεθειμένῳ ψαλμῷ
καὶ αὐτὸς γὰρ τὸ μέλλον προαγορεύει=
κριτήριον καὶ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν
τὴν ἐπιφάνειαν προαγορεύει μέντοι
καὶ τὴν καινὴν διαθήκην· δείχνυσι τῶν
κατὰ νόμον λατρείας οὐ θεὸν μὴ ἐπιθυμῶν:
„ Θεὸς θεῶν κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν
„ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν
„ ἐκ σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότη=
τος

αὐτοῦ.

Οὕτως ἡρμήνευσαν οἱ λοιποί. ἰσχυρὸς θεὸς λα= λήσας ἐκάλεσε τὴν γῆν, οἱ δὲ ἑβδο= μήκοντα θεοὺς ὀνομάζουσι τοὺς ἀρχὴν λαχόντας καὶ κρίνειν πεπι= στευμένους κατὰ τὸ θεοὺς σοῦ οὐ κακολογήσεις. κυρίως δ' ἂν θεοὶ κλη= θεῖεν, οἱ κατ' εἰκόνα θείαν γεγενημέ= νοι. καὶ ἀκέραιον τὴν εἰκόνα φυλά= ξαντες ὁ τούτων θεός. πᾶσαν ζωάγρει τὴν οἰκουμένην εἰς τὸ κριτήριον αὐ= τοῦ δὲ οὗτός ἐστιν. ὁ ἐν τῇ σιὼν τὴν οἰκίαν ἐνπρέψας καὶ ὅραν ὅλην το= σπήξας. καὶ τὰ σωτήρια καταδεξάμενος πάθη

Ὁ θεὸς ἐμφανῶς ἥξει. ὁ θεὸς ἡμῶν

καὶ

καὶ οὐ παρασιωπήσεται·
Οὐ γὰρ δὴ κατὰ τὴν προτέραν παρουσίαν
καὶ δευτέρα γενήσεται. τότε μὲν γὰρ
τῇ πτωχείᾳ τὴν μεγαλοπρέπειαν
συνεκάλυψε· νῦν δὲ προφανῆ δείξει
πᾶσι τὴν δεσποτείαν· οὐκ ἔτι τῇ μακρο=
θυμίᾳ χρώμενος ἀλλὰ κρίνων δι=
καιον· τοῦτο γὰρ εἶπεν οὐ παρασι=
ωπήσεται·
Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται. καὶ
κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα·
Ταῦτα καὶ ὁ θεῖος Δανιὴλ ἐθεάσατο
ποταμὸς γὰρ πυρός. εἷλκεν ἔμπρος-
θεν ὁ θρόνος αὐτοῦ φλὸξ πυρός,
οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον·
Προσκαλέσεται τὸν οὐρανὸν καὶ τὴν γῆν
τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ

Οὐχ ὡς ἔμψυχα ταῦτα εἰς μαρτυρίαν
καλεῖ ἀλλ' ὡς τῶν ἄλλων περιεκτικὰ=
ποιημάτων εἰς φόβον τῶν ἀκουόν=
των:

» Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ
» τοὺς διατιθεμένους τὴν διαθή=
» κην αὐτοῦ ἐπὶ θυσίαις καὶ ἀναγγελοῦ=
» σι οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ
» ὅτι θεὸς κριτής ἐστιν:

Διὰ τοῦτο καὶ τῶν ἑξῆς τὸ ἀτελὲς
διήλεγξε τῆς κατὰ νόμον λατρείας
ὁσίους δὲ φησὶ τὸν μωσέα τὸν ἀαρὼν
καὶ τοὺς ἄλλους κατὰ νόμον ἱερεῖς
συνάγει δὲ αὐτοὺς οὐχ ἵνα δίκας εἰσ=
πράξηται αὐτῶν γὰρ ὁ νόμος. ἀλλ' ἵνα
καὶ τούτων παρόντων τὴν νηπίοις
ἁρμόττουσαν καταπαύσας διδασκα=

λίαν τὰ τέλεια

χίαν τὰ τέλει ἀπροσενέγκῃ μαθήμα=
τα τῶν γινομένων θαυμάζουσι οἱ
ὅσιοι ὑπὸ φόβου τὸ δίκαιον διὰ δὲ
τῶν ὁσίων τοὺς ὁσίους δυνάμεις
ἐπήξατο:

„ Ἄκουσον λαός καὶ λαλήσω σοι ἰη̅λ
„ καὶ διαμαρτύρομαί σοι. ὁ θ̅ς ὁ θ̅ς
„ σου εἰμὶ ἐγώ. οὐκ ἐπὶ ταῖς θυσί=
„ αις σου ἐλέγξω σε τὰ δὲ ὁλοκαυ=
„ τώματά σου ἐνώπιόν μου ἐστὶ διὰ
„ παντός:

Εἰπὼν ἰη̅λ καὶ διαμαρτύρομαί σοι ἔ=
δειξεν πρὸς ποῖον λαὸν αὐτὸν δια=
λέγεται ἐγώ εἰμι φησὶ ὁ τῆς αἰγυπ=
τιακῆς δουλείας ἐλευθερωτής. ὁ τὸν
νόμον σοι δεδωκώς. μὴ γὰρ δὴ ἄλλον
νομοθέτην νομίσῃς. τὸν νόμον ὁρῶν

τὸ διάφορον οὐκ ἀμελλοίαμ σοὶ φησὶ αὐ=
τι ὧν ἐγκαλέσω. προσφέρεις γάρ.
ἀλλὰ μὴ ταύταις ὀνήσασθαι τὴν δικαι=
οσύνην παρ' ἐμοῦ:

" Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους
" οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμά-
" ρους ὅτι ἐμά ἐστι πάντα τὰ θηρία
" τοῦ ἀγροῦ κτήνη ἐν τοῖς ὄρεσι καὶ βό=
" ες. ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ
" οὐρανοῦ. καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ
" ἐστίν:

Πάντων εἰμὶ φησὶ δεσπότης. καὶ τῶν χερσαίων, καὶ τῶν ἀεροπόρων. μὴ τοίνυν ἡγοῦ τὴν ἐμὴν χρείαν πληροῦν. ὡραιότητα δὲ ἀγροῦ. τοὺς παντοδαποὺς καρποὺς τῆς γῆς λέγει. εἶτα εἰρωνικῶς ἐὰν πεινάσω οὐ μή σοι

εἴπω

εἴπω
» ἐὰν πεινάσω οὐ μή σοι εἴπω ~~εἴπω~~ ἐμὴ
» γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλή=
» ρωμα αὐτῆς μὴ φάγομαι κρέα
» ταύρων ἢ αἷμα τράγων πίομαι:

Ἐὰν φησὶ δεηθῶ τροφῆς. οὐ τῆς σῆς
δέομαι χορηγίας. πάσης γὰρ ὁμοῦ
τῆς κτίσεως ποιητής εἰμι καὶ δεσπό=
της. εἶτα τῆς οἰκείας φύσεως τὴν ἀ=
πάθειαν διδάσκει. μὴ φάγομαι.
οὕτως ἐλέγχων τὸ ἀνόητον δόξας.
καὶ διδάξας ὡς τῆς νηπίας αὐτῶν
διανοίας ἕνεκεν αὐτοῖς τὰς θυσίας
πάλαι προσφέρειν ἐνομοθέτησεν:
τὴν καινὴν παρεγγυώμενος διαθήκην
καὶ τὴν ἀρέσκουσαν αὐτῷ θυσί=
αν νομοθετεῖ:

" θύσον τῷ θεῷ θυσίαν αἰνέσεως· καὶ
" ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου·
" καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλί=
" ψεως καὶ ἐξελοῦμαί σε καὶ δο=
" ξάσεις με·:

Εἰς καιρὸν δὲ καὶ τῆς ἁγίας τριάδος
τὸν ὕμνον ἀνεκάλεσεν ἀριθμόν
καὶ τῇ καινῇ διαθήκῃ συνέζευξεν
διεῖλεν δὲ τὰ πράγματα οὐχ ἵνα τῆς
ἁγίας τριάδος διέλῃ τὰς ἐνεργείας ἀλλ'
ἵνα τὸν ἀριθμὸν διδάξῃ τρία δὲ
πρόσωπα· θεὸς καὶ ὕψιστος καὶ ὁ χο=
ρηγὸς τῶν αἰτήσεων ἀλλ' ἑκάστη
ἰδιότης, καὶ θεὸς καὶ ὕψιστος· καὶ χο=
ρηγός ἐστιν ἀγαθῶν· θυσίαν δὲ αἰ=
νέσεως φησὶ τοῖς δικαίοις πρέπον

τας

πρέποντας ὕμνους εὐχὰς δὲ τὰς ὑ-
ποκρίσεις. ἐπὶ δὲ εἶπεν οὐκ ἐπὶ
ταῖς θυσίαις σου ἐλέγξω σε λείπηλοι-
πὸν ὑστέροις ἐχέγγει. τῷ δὲ ἁμαρτω-
λῷ:
„ Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός: ἵνα τί
„ σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου.
„ καὶ ἀναλαμβάνεις τὴν διαθή-
„ κην μου διὰ στόματός σου σὺ δὲ
„ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες
„ τοὺς λόγους μου εἰς τὰ ὀπίσω:
Ἐπειδὴ γὰρ εἰσί τινες ἐλέγοις μὲν πλη-
μελοῦσι μεμφόμενοι. καὶ τῶν θεί-
ων νόμων ἀναμιμνήσκοντες. αὐ-
τοὶ δὲ παραμένουσι ἀδιδάσκουσιν.
εἰκότως πρὸς τοὺς τοιούτους ταῦτα
φησὶ διήγηται δὲ τῶν τολμώντων

ταῖς εἴδησις:

›› Εἰ ἐθεώρεις κλέπτην συνέτρεχες
›› αὐτῷ καὶ μετὰ μοιχοῦ τὴν μερί-
›› δασου ἐτίθεις· τὸ στόμασου ἐπλε-
›› όνασε κακίαν καὶ ἡ γλῶσσασου
›› περιέπλεκε δολιότητας· καθήμε-
›› νος κατὰ τοῦ ἀδελφοῦσου κατε-
›› λάλεις. καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρὸς
›› σου ἐτίθης σκάνδαλον:-

Πολλὰ εἶπον καὶ παντοδαπὰ παρὰ σοῦ τολμηθέντα παρανομήματα. ἀποστολικῶς γὰρ εἰπεῖν ὁ λέγων μὴ μοιχεύσεις, καὶ τῶν τοιαῦτα τολμώντων συνεργὸς γίνῃ καὶ κοινωνὸς διὰ τῆς παρανομίας τὸ διήγησιν ποιησάμενος. καὶ ἂν ἔχῃ διδάσκοι μακροθυμίαν καὶ τὴν ἐπὶ σοὶ τιμωρίαν προλέγων:

Ταῦτα ἐποίησας καὶ ἐσίγησα· ὑπέλαβες
ἀνομίαν· ὅτι ἔσομαί σοι ὅμοιος· ἐ-
λέγξω σε καὶ παραστήσω κατὰ πρό-
σωπόν σου τὰς ἁμαρτίας σου:
Ἐγὼ μὲν ταῦτα ὁρῶν· μακροθύμως
ἀρημένον μεταμελάνου δὲ εὐσε-
βῶς ἐλπιδόμενον με τὴν σὴν παραν-
νομίαν μὴ ἐπάγειν τὴν τιμωρίαν
ἐσιώπησα· οὗ δὴ χάριν ἐλέγξω σε:
καὶ παραστήσω οὕτως ἀπελίσαι τὴν
τιμωρίαν· πάλιν ὁ φιλάνθρωπος παραι-
νέσιν προσενήνοχε:
„ Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι
„ τοῦ θεοῦ μή ποτε ἁρπάσῃ καὶ οὐ μὴ
„ ὁ ῥυόμενος· θυσία αἰνέσεως δοξά-
„ σει με καὶ ἐκεῖ ὁδὸς ᾗ δείξω αὐτῷ

Τὸ σωτήριόν μου:

Ἐπιμελῶς φησὶν ἕκαστον τῶν εἰρημέ-
νων καταγνώσατε οἱ τοῦ θεοῦ τῆς λή-
θην κενοσπουδεῖς. λήθη γὰρ θεοῦ πρό-
ξενος ἁμαρτίας. καὶ μετανοίᾳ θερα-
πεύθητε. πρὶν ἁρπάσαι τὸν θάνα-
τον. οὗ τὴν σφοδρότητα. οὐδεὶς
δυνήσεται. ἐπισχεῖν εἶτα τὴν καινὴν
νομοθεσίαν λαμβάνει καὶ ταῦτα
τοῦ ψαλμοῦ τὸ τέλος κοσμεῖ: τὸ
δὲ θύσιον αἰνέσεως. οὕτως ὁ σύμ-
μαχος. θυσιάζων, ὑπὲρ αἰνέσεως
δοξάσει με. καὶ τὸν εὐλάλως ὁδεύον
τι δείξω σωτήριον θεοῦ. προσήκει γὰρ
μὴ μόνον ὑμνεῖν τὸν θεόν. ἀλλὰ καὶ
βίου ἐπιμελεῖσθαι καὶ οὕτω σωτηρίας

τευξόμεθα

τυχόμεθα κατὰ δὲ τοὺς ἑβδομήκον
τα τὴν σάλπιγγα γάρ φησι τῆς αἰνέ=
σεως φθέγγομαι. καὶ ταύτην ἡγοῦμαι
δόξαν ἁρμόττουσαν· καὶ διὰ ταύτης
τὴν ἐμὴν ὁδὸν ὑποδείξω. τῷ ταύ=
την προσφέροντι: ἧς τέλος ἡ παρὰ
θῦ σωτηρία:

Ν: εἰς τὸ τέλος ψαλμὸς τῷ δαδ ἐν τῷ
ἐλθεῖν πρὸς αὐτὸν νάθαν τὸν προ=
φήτην, ἡνίκα εἰσῆλθε: πρὸς βηρ=
σαβεὲ τὴν γυναῖκα οὐρίου:

Καθὼς ἡμᾶς ἐδίδαξεν ἡ ἐπιγραφὴ
τοῦ ψαλμοῦ τὴν ὑπόθεσιν. καὶ αὐτὰ
δὲ τοῦ ψαλμοῦ τὰ ῥήματα. ἱκανὰ
διδάξαι τῆς ἁμαρτίας τὸ πάθος ἰστέον
δὲ ὅτι καὶ μελλόντων ἔχει προα=
γόρευσιν ὁ ψαλμός. διὸ καὶ εἰς τέ

ἐπιγέγραπται. μηδεὶς δὲ ἀμφιβαλέτω·
ὡς καὶ κατὰ τὸν τῆς μετανοίας καιρὸν
προφητικῆς ἠξιώσατο χάριτος ὁ μέγας·
δαδ. αὐτὸς γὰρ φησὶ ἐν τούτῳ τῷ ψαλ=
μῷ. τὸ πνα σου τὸ ἅγιον μὴ ἀντανέ=
λῃς ἀπ' ἐμοῦ. οὐ γὰρ ᾔτησαν αὐτῷ πα=
ρασχεθῆναι τὸ πνα. ἀλλὰ μὴ ἐξ αὐ=
τῶν ληθῆναι·

" Ἐλέησόν με ὁ θς κατὰ τὸ μέγα ἔλεός
" σου· καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτι=
" ρμῶν σου ἐξάλειψον τὸ ἀνόμη=
" μά μου

Τὰ μεγάλα τῶν τραυμάτων. ἰσομε=
γέθων δέηται φαρμάκων. διὸ καὶ ὁ
μέγας δαδ, ὅλον εἰς αὐτὸν ἐκχεθῆ=
ναι τὸν ἔλεον καὶ πᾶσαν τῶν οἰκτιρ=
μῶν τὴν πηγὴν κατευνάσαι τῆς

ἁμαρτίας

ἁμαρτίας τὸ ἔλεος ἐπόλως δὲ ἀνόμη=
μα φησὶ τὸ πλημμέλημα δὲ πλὴν
γὰρ ἔχει τοῦ νόμου παράβασιν:

,, Ἐπὶ πλεῖον πλύνονμε ἀπὸ τῆς ἀνομί=
,, ασμου καὶ ἀπὸ τῆς ἁμαρτίασμου
,, καθάρισονμε:

Ἤδη γὰρ φησὶ διὰ Νάθαν τοῦ προφή=
του τὴν ἄφεσιν ἔδωκας· καὶ συμ=
φοραῖς μὲ περιστοίχησας οἷον τὸ δι=
κονστήρσιν ἀλλ᾽ ἔτι δεόμεθα ἐκμάθων.
πολλὴν τῆς ἁμαρτίας εἰς δεξάμε=
νοι δυσοσμίαν:

,, Ὅτι τὴν ἀνομίανμου ἐγὼ γινώσκω καὶ
,, ἡ ἁμαρτίαμου ἐνώπιόνμου ἐστὶ διὰ
,, παντός:

Διηνεκῶς φησὶ ὁρῶν τῶν ἐμῶν κα=
κῶν τὰς εἰκόνας· καὶ οὐδὲ μετὰ τὴν

γενομένῳ ἄφεσιν λῦσαι ἐδεξάμην
τῶν τολμηθέντων. τοῦτο γ' ποιεῖν
τοὺς ἁμαρτάνοντας. καὶ αὐτοῖς ὁ θεὸς
διὰ ἡσαΐου παρακελεύεται:

» Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν
» ἐνώπιόνσου ἐποίησα:

Οὐ τοῦτο φησὶν τῶν οὐρανίων οὐκ ἐδικήσα=
σεν. ἠδικήσαμεν γὰρ κἀκεῖνον.
καὶ τὴν ἐκείνου γυναῖκα ἡ δὲ μεγί=
στη παρανομία εἰς αὐτὸν τετόλμηται
τὸν θεόν. τὸν ἀντὶ προβατέως βασιλέως
με πεποίηται καλῶς δὲ φησὶ καὶ
τὸ πονηρόν. ὤφθη γὰρ τὸ γεγονὸς
πονηρὸν ἐνώπιον θεοῦ ὡς ἡ ἱστορία
φησίν:

» Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου
» καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε:

Τοὺς οἰκτιρμοὺς ἐπικαλεσάμενοι τοῦ
θῦ καὶ ἀπὸ τῆς ἁμαρτίας καθα-
ρισθῆναι ἱκετεύσας καθυπέρβαλον
ἐπιφέρεται· ὅπως ἂν δικαιωθῇς τοῦ-
το γὰρ θῦ πολλὴν τὸν περὶ μετανοίας
ποιησαμένη λόγον. τότε ἐπιστρέφου-
σι τῷ ἄφεσιν. καθὰ καὶ ὅρκῳ διε-
βεβαιώσατο. μὴ βούλεσθαι τὸν θά-
νατον τοῦ ἁμαρτωλοῦ. σαφῶς τῶν
προειρημένων ἐμμνημονεύουσι ἐπιμά-
των κατασκευάζων. ὅτι ἐν ἐμοὶ
μενοῦσι τῇ συγχωρήσης. καὶ ἐπιστρέφον-
τι ἱλασθῇ δικαιωθήσῃ ἐν τοῖς λόγοις
καὶ ἀληθὴς ἐν ταῖς ἀπὸ ταῖς ὑποσχέ-
σεσιν ἀναδειχθεῖεν καιρῷ τῆς ἀντα-
ποδώσεως· ὁ μὲν γὰρ τὸν ἐκ μετα-
νοίας ἀναληφθέντα εἰς μέσον παρα

γαγών

παραγαγών δικαίως κρινεῖς τούς μή με-
τανοήσαντας. ἀλλ' ἄχρι τέλους ἐπιμεί-
ναντας τῇ ἁμαρτίᾳ:

„ Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην.
„ καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ
„ μου καί πνα εὐθές ἐγκαίνισον ἐν
„ τοῖς ἐγκάτοις μου:

Πνα ἐν τούτῳ τοῦ λογικοῦ τήν ὁρμήν
φησί: ἱκετεύει οὖν. τήν τε βλαβεῖσαν
αὐτοῦ νεουργηθῆναι καρδίαν. καί τό
λογικόν ῥωσθῆναι ὥστε τήν εὐθεῖαν
τρέχειν ὁδόν::

„ Μή ἀποῤῥίψῃς με ἀπό τοῦ προσώπου-
„ σου καί τό πνα σου τό ἅγιον μή ἀν-
„ τανέλῃς ἀπ' ἐμοῦ:

Σαφῶς διά τούτων μανθάνομεν. ὡς
οὐκ ἐγυμνώθη τῆς τοῦ παναγίου.

πνς

πρὸς χάριτος. οὐ γὰρ ἀποβαλεῖν ἐκελεύει
ἀλλὰ μὴ στερηθῆναι ταύτης. μηδὲ
πόρρω γενέσθαι τῆς θείας κηδεμονίας
πρόσωπον γὰρ ἐν τούτῳ τὴν κηδεμο=
νίαν καλεῖ:

» Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου
» καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με=

Ὃ μὴ ἀπώλεσεν. ἔχειν τὴν βούλησιν. τοῦ-
τ' ἔστι τὸ θεῖον πνεῦμα. ὃ δὲ ἀποβέβλη=
κεν ἀπολαβεῖν ἐκελεύει. τὸ δὲ ἦν ἡ
ἔνθεος εὐφροσύνη. πνεῦμα δὲ ἡγεμό=
νικὸν τὸν αὐτοκράτορα καλεῖ λο=
γισμόν. ὡς ἐδουλώθη τῇ τῆς ἁμαρ=
τίας ἡδονῇ. ἐκελεύει τοίνυν πάλιν
τὴν κατὰ τῶν παθῶν ἐξουσίαν τὸν
νοῦν ἀναλαβεῖν:

» Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ

» καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν:

Τῆς σῆς ἀπολαύων φιλανθρωπίας ἀρχέτυπον ἔσομαι μετανοίας. καὶ κῆρυξ τῆς σῆς ἀγαθότητος πολλοὺς παρανόμους ἄνδρας τῇ σῇ προσδραμεῖν ἱκεσία:

» Ῥῦσαί με ἐξ αἱμάτων ὁ θεὸς ὁ θεὸς τῆς
» σωτηρίας σου ἀγαλλιάσεται ἡ γλῶσσα μου
» τὴν δικαιοσύνην σου:

Τοῦτο διὰ τὸν τοῦ οὐρίου φόνον φησί. τὸ δὲ ἀγαλλιάσεται ἡ γλῶσσα μου οὕτως ὁ σύμμαχος. διαλαλήσει ἡ γλῶσσα μου τὴν ἐλεημοσύνην σου. οὐ γὰρ σιγήσω τῆς ἀφέσεως ἀπολαύσας. ἀλλ᾽ ὑμνῶν σε διατελέσω καὶ τὰς σὰς διηγούμενος χάριτας:

» Κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ:

" ἀναγγελεῖ: τὴν αἴνεσίν σου:

Ἐπειδὴ πέφυκεν ἡ ἁμαρτία τὴν γλῶτ-
ταν δεσμοῦν ἀντιβολεῖ διὰ τῆς ἀ-
φέσεως τῆς προτέρας παῤῥησίας
μεταλαχεῖν:

" Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν ὁλο-
" καυτώματα οὐκ εὐδοκήσεις:

Εἰώθασι ταῦτα τοῖς ἐν τῷ πρὸ τούτου τοῦ ψαλ-
μοῦ εἰρημένα· τό οὐ δέξομαι ἐκ
τοῦ οἴκου σου μόσχους καὶ τὰ ἑξῆς:

" θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον
" καρδίαν συντετριμμένην καὶ τετα-
" πεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει:

Ἱεραίων φησί: ἀρεστόν καὶ μὴφεσοι τῷ
θεῷ ἡμῶν μετριότης φρονήματι διό
σφόδρα τὴν καρδίαν ταπεινῶσαι
καὶ οἱονεὶ συντρίψαι· καὶ λίαν αὐτὴν

λεπτῦναι τῷ ἀρεστὴν σοι θυσίαν προσκό-
μιῶ:
Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν σι-
ὼν καὶ οἰκοδομηθείτω τὰ τείχη ἱε-
ρουσαλήμ. τότε εὐδοκήσεις θυσίαν
δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυ-
τώματα τότε ἀνοίσουσιν ἐπὶ τὸ θυ-
σιαστήριόν σου μόσχους:
1252 Σαφέστερον ἐκ τούτων διδασκό-
μεθα τῶν ῥημάτων. ὡς πλήρης
ὁ ψαλμὸς προφητείας. τοῖς ἐν βαβυ-
λῶνι γὰρ τῷ ᾐχμαλωτισμένοις οἰκεῖ. καὶ
ποθοῦσι τὴν τῆς δουλείας ἀπαλλαγήν.
καὶ ὀλοφυρομένην τῷ τῆς πόλεως
ἐρημίαν. ἁρμόττει τὰ ῥήματα. ἱκετεύ-
ουσι γὰρ οἷον τινὸς ἀξιωθῆναι τὴν
πόλιν. καὶ τῷ προτέραν εὐκληρείαν
ἀπολαύειν

ἀπολαυσεῖν. τῶν περιβόλων ἀνορθουμέ-
νων. καὶ τῆς κατὰ νόμον τελουμένης
λατρείας· νῦν μὲν γάρ. τὴν ἀλοτρίαν
οἰκοῦντας τὰς ὡρισμένας σοὶ θυσίας προσ-
φέρειν οὐκ ἔξεστι, ἐν ἐκείνῃ μόνῃ τῇ
πόλει θύειν διαγορεύοντος τοῦ νόμου. εἰ
δὲ τῆς ἐπανόδου τύχοιμεν καὶ τὸν νεὼν
ἀνορθώσαιμεν. τηνικαῦτα σοὶ ἐννόμως
θύσομεν. ἁρμόττει δὲ αὐτοῖς λίαν καὶ τὸ
κύριε τὰ χείλημου ἀνοίξεις· αὐτῶν γάρ ἐστιν
ἡ φωνή. πῶς ᾄσομεν τὴν ᾠδὴν κυρίου ἐπὶ
γῆς. ἔχει δὲ καὶ ἑτέραν προφητείαν τόδε
τοῦ ψαλμοῦ τὸ τέλος· ἐπειδὴ γὰρ τοῦ
θείου πυρὸς ἐν ᾧ τὰ δῶρα προσεκαθή-
κεν. εἶτα καλῶν: ἔδειξεν ταῖς
κατὰ νόμον θυσίαις οὐκ ἀρεσ-
κόμενον τὸν θεὸν ἐκελεύσε τὴν
ἑαυτοῦ. ἀναφανῆναι σιὼν καὶ
τὴν ἐπουράνιον ἱερουσαλὴμ ἐπὶ
γῆς ὅτι τάχιστα πο-
λισθῆναι.~



1252

233.